heirm. θ' EE 226 n. 324, Germani

176-177 Jud. 6,36-40

ὅτι πίστιν ἀντὶ τῆς πλάνης δεικνῦσα
185 γέγονας τῇ πίστει τῷ θεῷ ἡμῶν.

Σύ, τοῦ ἀδελφοῦ σου πεισθεῖσα ταῖς νουθεσίαις,
πρὸς τὸν ὄντως ὄντα θεὸν
ἀκλινῶς ἀνεστράφης,
καταλείψασα τὴν πολύθεον πλάνην
190 καὶ συναρμοσθεῖσα τῷ ἀφθάρτῳ θεῷ.

Σύ, τὸ ἱερὸν καταλείψασα τῶν εἰδώλων
καὶ ναὸν τοῦ ὄντως θεοῦ
σεαυτὴν ἐκτελοῦσα,
τῷ βαπτίσματι ἐβαπτίσθης, Μαμέλχθα,
195 λίθοις τὸ μαρτύριον ἀνύσασα.

θεοτ. Σὺ εἶ, θεοτόκε, τὰ ὅπλα ἡμῶν καὶ τεῖχος,
σὺ εἶ ἡ ἀντίληψις
τῶν εἰς σὲ προστρεχόντων,
σὲ καὶ νῦν εἰς πρεσβείαν ⟨– –⟩ κινοῦμεν,
200 ἵνα λυτρωθῶμεν τῶν ἐχθρῶν ἡμῶν.

---

184 δεικνίουσα Vb 193 ἐκτεκοῦσα Vb 199 duabus syllabis hic caret textus

5 OCT. *CANON* V

IN S. CHARITINAM ET S. MAMELCHTAM

Synaxarium, 107-111: Ἄθλησις τῆς ἁγίας μάρτυρος Χαριτίνης. Ἥτις ἦν ἐπὶ Διοκλητιανοῦ βασιλέως τῷ θεῷ ἀνατεθειμένη...

Crypt. Δ.α. XXVI = F, ff. 33-35
Crypt. Δ.α. XXVIII = Cs, ff. 3ᵛ-5
Vat. gr. 2 = V, ff. 18ᵛ-20

Ὁ κανών.

Ἦχος β'.

ᾠδὴ α'. *Δεῦτε, λαοί - ᾄσωμεν ᾆσμα Χριστῷ τῷ θεῷ*

Ἐκ μυστικῶν
σήμερον ἀδύτων ηὔγασεν
ἡ παμφαὴς πανήγυρις,
καθάπερ ἥλιος,
5 τῆς σοφῆς ἀθλοφόρου
τῶν θαυμάτων ἀκτῖσι
πάντας φωτίζουσα.

Ἀπατηλῆς
ἔφυγες δόξης ἀξίωμα
10 καὶ δόξαν ἀναφαίρετον,

tit. τῶν ἁγίων μαρτύρων Μαμέλχθης καὶ Χαριτήνης V; canon sine auctore videtur, sed e theotokiis acr. apparet Γεωργίου
heirm. α' EE 37, n. 51, Cosmae 2 ἄδυτον V ηὔγασεν] ἤλλαμψεν Cs 5 ἀθληφόρου Cs 6 ἀκτίση τῶν θαυμάτων Cs 7 φωτίζουσαν F 8-14 vv. desunt in Cs, sed legimus:

Τοῖς νοητοῖς
χρώμασι τῆς καθαρότητος
καὶ ἀρετῆς κοσμήσασα
σαυτήν, ἠξίωσαι
μυστικῆς συναφείας
τοῦ κτίστου καὶ νυμφίου,
Μαμέλχθα ἔνδοξε.

μάρτυς ἀοίδιμε,
τὸν Χριστόν, ἀντηλλάξω
τοῦτον κομισαμένη
πόνοις ἀσκήσεως.

15 Ταῖς μυστικαῖς
χάρισι τοῦ θείου πνεύματος
καταπλουτοῦσα, ἔνδοξε,
δόξαν ἐπίκηρον
ἀδοξίαν ἡγήσω·
20 διό σε, Χαριτίνη,
Χριστὸς ἐδόξασεν.

f. 33ᵛ θεοτ. || Γνῶσιν θεοῦ,
δέσποινα, κατεπλουτίσθημεν,
οἱ ἐπιγνόντες ἅπαντες
25 σὲ θεομήτορα
καὶ κυρίως τιμῶντες
καὶ πράγματι τοὺς λόγους
ἐπισφραγίζοντες.

ᾠδὴ γ'. *Στερέωσον ἡμᾶς - ἐν σοί, κύριε,*

Ἀπάρασα τὸν νοῦν
30 τῆς κατασχέσεως,
πρὸς μόνον
τὸν πόθον τῶν αἰωνίων
τοῦτον, μάρτυς, μετεβίβασας,
μεταθεῖσα ἐκεῖ καὶ τὸ πολίτευμα.

35 Κατέσεισας βωμοὺς
τῆς ἀθεότητος

23 κατεπλουτήσαμεν Cs 24 οἱ om. F
heirm. γ' EE 39, n. 53, Cosmae 29 ἀπαράσα Cs ἀπάτορα F 30 κατωσχήσεως Cs κατωσχέσεως V 33 μετεβέβηκας F 34 καὶ] σε Cs 35-40 om. Cs et aliud troparium legitur:

Τῷ αἵματι, σεμνή,
τοῦ μαρτυρίου σου
τοῦ λύθρου
πληθεῖσα τῶν μιασμάτων
τῶν εἰδώλων, προσενήνοχας
ἑαυτὴν ἱερεῖον τῷ τῶν ὅλων θεῷ.

δυνάμει
τῆς πίστεως, ἀθλοφόρε,
καὶ αὐτὴν ἁγνὴν ἐτήρησας,
40 τοῦ δεσπότου τῶν ὅλων οἰκητήριον.

Ταμεῖον τὴν ψυχὴν
τὴν σὴν ἀνέδειξεν
ἐνθέων
χαρίτων ὁ ἐραστής σου
45 καὶ νυμφίος, Χαριτίνη σεμνή·
διὸ καὶ νοητῶς ἐν σοὶ κατῴκησεν.

θεοτ. * Ἐρράγη τῆς ἀρᾶς,
θεοχαρίτωτε,
τὸ πάλαι
50 μεσότοιχον καὶ ἡ ἔχθρα
ἐξηφάνισται τῷ τόκῳ σου
καὶ ἀγγέλοις συνήφθημεν, πανάχραντε.

ᾠδὴ δ΄. *Εἰσακήκοα, κύριε,*
τὴν ἀκοὴν
τῆς σῆς οἰκονομίας

Τῆς ἀπάτης τὸ ἄστατον
καὶ ταπεινὸν
55 συνεῖσα, ἀθλοφόρε,
τὸν τῆς ἀληθείας
λόγον κατέλαβες.

Ἐξεδύσω ἀνίερον
περιβολὴν

---

37 δυνάμην F 39 καὶ αὐτὴν] σαυτὴν F 42 ἀνέδειξεν] ἀνέδειξας V ἀντίληψις F 44 τῶ ἐραστῆ σου V 45 νυμφίω V 46 κατῴκησεν] ἐσκήνωσεν Cs 47-52 θεοτ. ed. MR V 95 50 ϊέχθραν F
heirm. δ΄ EE om., cfr. autem MR I, 96 55 συνῆσα Cs συνήθλεις F
58-62 aliud troparium in Cs:
Τὸ χαμαίζηλον φρόνημα
τῶν εἰδώλων

---

47 Gen. 3,16-17 50 Eph. 2,14

60 καὶ κόσμον ἐναθλοῦσα
ἱερὸν καὶ θεῖον,
μάρτυς, ἐνδέδυσαι.

Τῶν χαρίτων τὸν στέφανον
ἀθλητικῶς
65 ἡ μάρτυς πλεξαμένη,
νοητῶς εἰσέδυ
εἰς τὸν νυμφῶνα Χριστοῦ.

θεοτ. * Ὡς προστάτην σε, δέσποινα,
καὶ τῆς ἐμῆς
70 ἐλπίδος προστασίαν
κεκτημένος, πέποιθα
τῇ πρεσβείᾳ σου.

ᾠδὴ ε΄. *Ὁ τοῦ φωτὸς χορηγός*

Πυρὸς λατρείαν, σεμνή,
τοῖς τῶν αἱμάτων σου κρουνοῖς σβέσασα,

φυγοῦσα, ἀθλοφόρε,
τὸν τῆς ἀληθείας
λόγον κατέλαβες.
60 ἐναθλοῦσαν F ἐνεδύσω Cs 62 ἐνδέδυσται F ἀθλήσασα Cs 63-67 om. Cs 68-71 θεοτ. ed. ETh, 234 70 προστασίαν] προσδοκίαν Cs
heirm. ε΄ EE 38, n. 51, Cosmae ante v. 73 haec duo troparia praeponit Cs:
Ὁ τοῦ φωτὸς χορηγὸς
ἐν τῇ ψυχῇ σου νοητῶς, ἔνδοξε,
τὰς ἑαυτοῦ ἀκτῖνας ἐκπέμψας,
κατηύγασε, σεμνή, καὶ εἰδωλικῆς σε
σκοτίας ἐρρύσατο.
Τὸ ἀσθενὲς τῆς σαρκὸς
ἡ ἀρρενότης τῶν φρενῶν ἔρρωσε
τῶν σῶν, σεμνή, καὶ ἐν τῷ σταδίῳ
παρέστησε στερρῶς ὑπὲρ τοῦ δεσπότου
ἀθλοῦσάν σε, ἔνδοξε.
73 λατρείας E 74 κρονοῖς V

63-65 Anal. Boll. LXXII (1954) 11 - Μαρτύριον τῆς ἁγίας μάρτυρος χαριτίνης e codice Genuensi, § 2: « Οὐδὲν ἄλλο ἐστὶ τὰ βασανιστήριά σου ἢ μόνον ὅτι δι' αὐτῶν στεφανοῦσθαι μέλλω ».

75 τοῦ νοητοῦ φωτὸς τὰς ἀκτῖνας
ἐφήπλωσας ἐν γῇ διὰ καρτερίας
καὶ θείας ἀθλήσεως.

Ταῖς πολυφώτοις Χριστοῦ
καταυγασθεῖσα τὴν ψυχὴν χάρισι,
80 πᾶσι φαιδρὰν τὴν ὁμολογίαν
τῆς πίστεως αὐτοῦ ἔδειξας, ἀθλοῦσα
ἐν λόγοις τῆς χάριτος.

θεοτ. Ῥομφαίαν, ἄχραντε,
τὴν στρεφομένην ἐν Ἐδὲμ ἔπεισεν
85 ὑποχωρεῖν ὁ θεῖος σου τόκος
τοῖς πόθῳ σε ἀεὶ ὡς θεοῦ μητέρα
τιμῶσιν, πανάμωμε.

f. 34 ‖ ᾠδὴ ς'. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Ἐν τῇ πέτρᾳ τῆς πίστεως ἔπηξας
τὸ τῆς διανοίας σου, μάρτυς, θεμέλιον·
90 ταῖς τῶν ἐχθρῶν ὠθήσεσιν
οὐ μετέβης τῆς ὄντως ἱδρύσεως.

Τῆς ἁγνείας τὸν κόσμον ἐφαίδρυνας
τῆς ὁμολογίας σου ταῖς θείαις χάρισιν

78-82 om. Cs 78 τοῖς F 79 κατηυγάσθησαν . . . χάριτι F 81 ἔδειξαν ἀεθλοῦσαν F 86 τοῖς πόθοις F 87 τιμῶμεν V
heirm. ς' EE 34, n. 46, Joannis duo troparia praecedunt v. 88 in Cs; primum:
Τὰ τῆς πλάνης σεβάσματα ἔφλεξας,
θεῖον πῦρ ἀνάψασα Χριστοῦ τῆς πίστεως·
διὸ καὶ ὁλωκαύτωσας
σεαυτὴν τῷ δεσπότῃ, ἀοίδιμε.
et alterum:
Τοὺς βωμοὺς τῶν εἰδώλων κατέστρεψας
μηχανῇ τῆς πίστεως, Μαμέλχθα ἔνδοξε,
καὶ οἶκον κατεσκεύασας
ἑαυτὴν τοῦ νυμφίου καὶ κτίστου σου.
88 πήξασα Cs V 89 τὸ] τὸν F 91 ἱδρύσεως] ἀθλήσεως Cs 92-95 om. Cs 92 ἀγνοία FV, cf. p. 43 in notis « ἁγνείας στολήν ».

83-84 Gen. 3,24 88-89 Luc. 6,48

καὶ χαρισμάτων ἔλαμψας
95 τὰς ἀκτῖνας, σεμνή, ἐν τοῖς πέρασιν.

θεοτ. * Γνωστικὴν εὐφροσύνην σε, πάναγνε,
ἔχων τῶν παθῶν τῆς ἀγνοίας τὸ κάλυμμα
ταῖς σαῖς πρεσβείαις, δέσποινα,
ἀποτίθεμαι· δόξα τῷ τόκῳ σου.

ᾠδὴ ζ'. *Εἰκόνος χρυσῆς*

100 Συνέσει φρενῶν
τὸ ἀνίσχυρον, σεμνή, τὸ τῆς ἀπάτης
κατανοοῦσα, ἐξηρεύνησας
τὴν ἀλήθειαν καὶ ἀσάλευτον
πίστιν· ἣν εὑροῦσα, Μαμέλχθα
105 εὐχάριστος ἐκραύγαζεν·
« εὐλογητὸς εἶ, ὁ θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Εἰκόνος θεοῦ
τὴν πρωτόκτιστον ἀεὶ διατηροῦσα

---

95 σεμνὴν F 96-99 θεοτ. ed. MR V, 96 96 σε, πάναγνε] γινώσκωνε MR 97 ἔχων τῶν παθῶν] πάναγνε, παθῶν MR 99 τόκῳ] κράτει MR
heirm. ζ' EE 39, n. 53 Cosmae 108-115 desunt in Cs, pro eis in ipso haec duo troparia inveniuntur:
Ματαίων σπονδὰς
καὶ θυσίας βδελυκτὰς ἀποφυγοῦσα,
Χριστῷ προσήχθης, παμμακάριστε,
διὰ γενναίας ἀθλήσεως,
ᾧ, καὶ εἰς ὀσμὴν εὐωδίας
προσαχθεῖσα, ἐκραύγαζες·
« εὐλογητὸς εἶ, ὁ θεός,
ὁ τῶν πατέρων ἡμῶν ».
Ἁγνείας στολὴν
καὶ ἐνθέων ἀρετῶν περιθεμένη
ἐν τοῖς ἀδύτοις τοῖς τῆς πίστεως,
μάρτυς Μαμέλχθα, εἰσέδραμες,
ἔνθα φανερῶς ἐμυήθης
τῶν ἀπορρήτων τὴν δήλωσιν,
ὑμνολογοῦσα ἐκτενῶς
τὸν τῶν πατέρων θεόν.

110 χάριν, ἀνδρείως διετέλεσας
κατὰ παθῶν, πανaοίδιμε·
ὅθεν καὶ τυράννων τὸ κράτος
καθυπέταξας κράζουσα·
« εὐλογητὸς εἶ, ὁ θεός,
115 ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. * Ἰδού σε, ἁγνή,
πᾶσα φύσις γηγενῶν δοξολογοῦμεν
ὑπερθαυμάζοντες τὸ μυστήριον
τῆς σῆς κυήσεως, ἄχραντε,
120 καὶ χαρμονικῶς ἐκβοῶμεν
τῷ ἐκ σοῦ ἀνατείλαντι·
« εὐλογητὸς εἶ, ὁ θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

ᾠδὴ η΄. *Τὸν ἐν καμίνῳ τοῦ πυρός*

Ὑπερεκλάμψασα, σεμνή,
125 τῶν χαρίτων ταῖς αὐγαῖς καὶ τῶν θαυμάτων,
f. 34ᵛ τὰς τῶν ἄστρων λα‖τρείας
καὶ τῆς ἀπάτης πυρσούς,
Μαμέλχθα, ἔσβεσας κραυγάζουσα·
« σὲ ὑπερυψοῦμεν
130 εἰς πάντας τοὺς αἰῶνας ».

Τῆς ἀθεΐας τὴν ἀχλὺν
ἀπεμείωσας, σεμνή, θεογνωσίας

116-123 θεοτ. MR V, 96 120 ἐκβοῶντες MR
heirm. η΄ EE 35 n. 47, Joannis 127 ἀπάτης] ἀγάπης F 129 κραυάζουσα V post v. 130 troparium inserit Cs:
Τὸ τῆς ψυχῆς σου εὐπρεπὲς
ἀπρεπείᾳ τῶν παθῶν οὐκ ἐνοθεύθη,
ἀλλ' ἀλώβητον τοῦτο
διετηρήθη Χριστῷ,
τῷ μόνῳ μνηστῆρι καὶ κτίστῃ σου,
ὃν ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.
131 ἀθεΐας] ἀληθείας F

καταγγέλλουσα πᾶσι
τὰς πολυφώτους αὐγὰς
135 τοῖς πίστει τῷ κτίστῃ κραυγάζουσι·
« σὲ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. Ὅλη ἀμίαντος, ἁγνή,
ὅλη ἄσπιλος ὑπάρχεις, θεοτόκε,
140 ὅλη ἄμωμος μόνη,
ὅλη ὁλόφωτος εἶ,
ὅλη σύ, παρθένε, ὁλάγαθος,
ὅλη παναγία,
ὅλη εὐλογημένη.

ᾠδὴ θ΄. *Τὸν ἐκ θεοῦ θεὸν λόγον*

145 Τὴν ἐκ θεοῦ δεξαμένην
ἐκλογὴν τῶν κρειττόνων,
Μαμέλχθα, προαιρέσει καθαρᾷ
τούτων ἁπάντων προέκρινας
καὶ σαυτὴν ᾑρετίσω
150 θυσίαν λογικὴν προσαγαγεῖν
τῷ τὴν γνῶσιν τῶν ὄντων
πλουτίσαντι δεσπότῃ σου.

Ὥσπερ βασίλειον κόσμον
ἡ σεπτὴ ἐκκλησία
155 τὰ αἵματα στολίζεται τὰ σὰ
καὶ τῶν θαυμάτων ποικίλλεται
τοῖς χαρίσμασι, μάρτυς,
βοῶσα τῷ νυμφίῳ σου Χριστῷ·
« σὺ εἶ δόξα καὶ στέφος
160 τῆς ἀθλοφόρου, κύριε ».

135 τοὺς . . . . . κραυγάζοντας F κτιστει κραυάζοντας V 138 ἁγνή] σεμνή V
heirm. θ΄ EE 34, n. 46, Joannis 150 προσαγωγὴν F 160 ἀθληφέρου F

Ἐκ τῆς πηγῆς τῶν χαρίτων
τοῦ Χριστοῦ, Χαριτίνη,
τὴν χάριν ἀπαντλήσασα, ἡμῖν
νέμεις ἀφθόνως τὰς χάριτας
165 τῇ πρεσβείᾳ σου πᾶσι
τοῖς σὲ κεχαρισμένῃ τῇ ψυχῇ
εὐφημοῦσι καὶ πόθῳ
τὸν κτίστην μεγαλύνουσιν.

f. 35 θεοτ. ‖ Ὑπὸ τῆς σῆς, θεοτόκε,
170 βοηθείας καὶ σκέπης
ὁ δοῦλός σου φρουρούμενος ἀεί,
λώβην ἐχθρῶν τῶν κακούντων ἡμᾶς
οὐ πτοοῦμαι, ἀλλ' ἔχω
κραταίωμά σε ἄρρηκτον, ἁγνή,
175 καὶ ἐλπίδα καὶ τεῖχος
καὶ καύχημα πολύολβον.

161-168 om. Cs, sed hoc aliud troparium praebet:
Ἐν ἀκηράτοις θαλάμοις
οὐρανῶν βασιλείας
χορεύουσα ἱκέτευε Χριστόν,
τὸν ἐραστήν σου καὶ κύριον,
συμμετόχους γενέσθαι
ἡμᾶς τοὺς εὐφημοῦντάς σε πιστῶς,
ἧς μετέσχηκας δόξης,
Μαμέλχθα παναοίδιμε·
163 τὴν χάριν om. F 168 τῷ κτίστῃ F 169 θεοτόκε] βοηθείας V 170 βοηθείας] θεοτόκε V 171 οἱ δοῦλοι σου φρουροῦμεν F 172 ἡμᾶς] με V Cs 173 οὐ πτοούμεθα μᾶλλον F

IN SANCTUM THOMAM

Synaxarium, 113-115: Ἄθλησις τοῦ ἁγίου ἀποστόλου Θωμᾶ τοῦ καὶ Διδύμου. Οὗτος Πάρθοις καὶ Μήδοις καὶ Πέρσαις καὶ Ἴνδοις τὸν λόγον τοῦ Θεοῦ κηρύξας καὶ πολλὰ πλήθη τοῖς ἀπείροις θαύμασι τῇ εἰς Χριστὸν πίστει προσαγαγών, ὑπὸ Μισδαίου βασιλέως Ἰνδῶν ἀναιρεῖται ..... Διὸ καὶ παραδίδοται πέντε στρατιώταις, οἳ ἐπὶ τὸ ὄρος ἀναγαγόντες αὐτόν, λόγχαις κατέτρωσαν καὶ τὸ μακάριον αὐτῷ ἐπήνεγκαν τέλος....

Crypt. Δ.α. XXXII = Ct, f. 4v
Sabait. gr. 73 = Je, ff. 52-56v
Staurou 80 = Jl, ff. 71v-73
Sinait. gr. 556 = Συ, ff. 163v-166
Sinait. gr. 562 = Σφ, ff. 30v-32

Ὁ κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἅρματα Φαραώ*

Δεῦτε, τὸν ἀφειδῆ
ἀρυσάμενον χειρὶ
πλοῦτον θείας χάριτος
ἐκ τῆς πλευρᾶς τοῦ δεσπότου
5 ὕμνοις ἱεροῖς, πάντες πιστοί,
Θωμᾶν δοξάσωμεν ᾄσμασιν.

Ἅρμα θεοπρεπὲς
ἀνεδείχθης μυστικῶς
φέρων ἐποχούμενος
10 τὸν βασιλέα τῆς δόξης,
« ᾄσωμεν Χριστῷ ᾆσμα », βοῶν,
θεομακάριστε Δίδυμε.

---

tit. in margine legitur Ἰωάννου in Συ et Σφ
heirm. α' EE 104, n. 147, Andreae
4 δεσπότου] σωτῆρος Je 6 ἀξίως τιμήσωμεν Je Χριστὸν ὑμνοῦντες Σφ 8 μυστικῶς] νοητῶς Je 9 ἐποχούμενον Jl Σφ, Je,

---

4 Joh. 20,27-28 7-8 IV Regn. 2,11

Ἐκ Σιὼν ἀπεστάλη
Θωμᾶς ὁ ἀπόστολος,
ὡς ποταμὸς ἐξ Ἐδέμ,
70 κομίζων ἀρώματα χάριτος θείας
καὶ πλοῦτον ἐξ ἀΰλων
τοῦ πνεύματος θησαυρῶν,
ὧν καὶ πλουτισθέντες βοῶμεν·
« δόξα τῇ δυνάμει σου, κύριε ».

75 Ἀπελαύνονται πάθη
καὶ ἰάσεις βρύουσιν,
φεύγουσι δαίμονες,
ἀγγέλων δὲ στρατιαὶ σὺν ἀποστόλοις
καὶ μάρτυσι χορείαν
80 ἐνταῦθα πλέξαντες
σὺν ἡμῖν μελῳδοῦσιν·
« δόξα τῇ δυνάμει σου, κύριε ».

θεοτ. Αἱ τῶν προφητῶν φωναί,
ἰδού, νῦν πεπλήρωνται,
85 σοῦ τῆς παρθένου ἁγνῆς
τεκούσης τὸν προφήταις προηγγελμένον
καὶ χάριτι πληροῦντα
πνεύματος σύμβολα
τὰ προκεκηρυγμένα·
90 ὅθεν σε πιστῶς μακαρίζομεν.

ᾠδὴ ε΄. *Ὁ κτησάμενος ἡμᾶς*

Τῶν Ἰνδῶν τὸ δυσσεβὲς
καὶ ζοφῶδες τῆς ψυχῆς
καταυγάσας τῷ θείῳ φωτὶ
τερατουργῶν, ἀπόστολε,
95 καὶ εὐπρεπεῖς τῷ θεῷ προσενήνοχας.

73 πλησθέντες Συ Je 75 Ἀπελαύνων τὰ πάθη Ct 83-90 om. Ct
heirm. ε΄ EE 96, n. 136, Joannis 94 τερατουργεῖν Ct

67 Rm. 11,26 69 Ap. 22,1 83-89 Is. 1,3; 7,14 Mich. 5,2

Ὁ ἐν πᾶσι μιμητὴς
τοῦ δεσπότου γεγονὼς
συμπέπρακται, ὁ θεῖος Θωμᾶς,
τῷ δι' οἰκείας πράσεως
100 ἐλευθερίαν ἡμῖν ὑπογράψαντι.

Τῆς ψυχῆς μου τὴν ῥοπὴν
ἐκ κακίας, ἀγαθέ,
πρὸς ἀρετὴν μεθάρμοσον
διὰ τοῦ ἀποστόλου σου
105 καὶ τῷ φωτί σου, Χριστέ, καθοδήγησον.

θεοτ. Σεσωμάτωται θεὸς
καθ' ὑπόστασιν, ἁγνή,
σαρκὶ ἐκ σοῦ ἑνούμενος,
μεμενηκὼς οὐκ ἔλαττον
110 κατὰ τὴν θείαν οὐσίαν ἀσώματος.

ᾠδὴ ϛ΄. *Ἐβόησε*
προτυπῶν τὴν ταφὴν τὴν τριήμερον

Ὡς ἔννομος
μαθητὴς τοῦ δεσπότου γενόμενος,
οὐκ ἐρίζων,
οὐ κραυγάζων Θωμᾶς, τὴν ἀπόφασιν
115 ἐν ἀγαλλιάσει
δεδεγμένος, χωρεῖ πρὸς τὸν θάνατον.

96 Ὡς Ct 101 μου om. Ct 106-110 om. Ct
heirm. ϛ΄ EE 125, n. 172 in adorationem Crucis, sine auctoris nomine

96-100 *Acta Thomae* p. 100. « Μὴ φοβοῦ Θωμᾶ, ἄπελθε εἰς τὴν Ἰνδίαν καὶ κήρυξον ἐκεῖ τὸν λόγον· ἡ γὰρ χάρις μου ἐστὶν μετὰ σοῦ. Ὁ δὲ οὐκ ἐπείθετο, | p. 101 | λέγων· Ὅπου βούλει με ἀποστεῖλαι ἀπόστειλον ἀλλαχοῦ· εἰς Ἰνδοὺς γὰρ οὐκ ἀπέρχομαι. | § 2 | Καὶ ταῦτα αὐτοῦ λέγοντος καὶ ἐνθυμουμένου, ἔτυχεν ἐμπορόν τινα εἶναι ἐκεῖ, ἀπὸ τῆς Ἰνδίας ἐλθόντα, ᾧ ὄνομα Ἀββάνης, ἀπὸ τοῦ βασιλέως Γουνδραφόρου ἀποσταλέντα καὶ ἐντολὴν παρ' αὐτοῦ εἰληφότα τέκτονα πριάμενον ἀγαγεῖν αὐτῷ. Ὁ δὲ κύριος, ἰδὼν αὐτὸν ἐν τῇ ἀγορᾷ περιπατοῦντα τὸ μεσημβρινόν, εἶπεν αὐτῷ· βούλει τέκτονα πρίασθαι; Ὁ δὲ εἶπεν αὐτῷ· Ναί. Καὶ ὁ κύριος ἔφη αὐτῷ. Ἔχω δοῦλον τέκτονα καὶ βούλομαι αὐτὸν πωλῆσαι. Καὶ ταῦτα εἰπὼν ὑπέδειξεν αὐτῷ τὸν Θωμᾶν ἀπὸ μακρόθεν καὶ συνεφώνησεν | 102 | μετ' αὐτοῦ τριῶν λιτρῶν ἀσήμου, καὶ ἔγραψε ὠνὴν λέγων· « Ἐγὼ Ἰησοῦς, υἱὸς Ἰωσὴφ τοῦ τέκτονος, ὁμολογῶ πεπρακέναι ἐμὸν δοῦλον, Ἰούδαν ὀνόματι, σοὶ τῷ Ἀββάνῃ, ἐμπόρῳ Γουνδαφόρου τοῦ βασιλέως τῶν Ἰνδῶν.

Πᾶσαν τὴν νοητὴν
τοῦ ἐχθροῦ πανστρατιὰν
15 ἄρδην κατεπόντισας
ἐν ἀπωλείας ἀβύσσῳ,
πάνσοφε Θωμᾶ, βιαίᾳ πνοῇ
τῆς ἐπινοίας τοῦ πνεύματος.

Σῶσον τῇ κραταιᾷ
20 δεξιᾷ σου, ὁ θεός,
πάντας τοὺς ὑμνοῦντάς σε
ἐκ τοῦ βυθοῦ τῶν πταισμάτων
ἐν τῇ εὐκλεεῖ μνήμῃ, Χριστέ,
τοῦ ἀποστόλου σου σήμερον.

θεοτ. 25 Ὅλον ἐκ σῆς γαστρὸς
τὸν συνάναρχον πατρὶ
ἔτεκες, ἀπείρανδρε,
ὑπερφυῶς κατὰ σάρκα
μείνασα παρθένος ἀληθῶς·
30 διό σε πάντες γεραίρομεν.

ᾠδὴ γ'. *Τόξον δυνατῶν ἠσθένησε*

Φύσις ἀσθενὴς ἐνίσχυται
καὶ αἱ τῶν δαιμόνων καταπεπτώκασιν φάλαγγες,
τῷ σταυρῷ δὲ δι' ἀποστόλων
ὡς δραπέται φυγαδεύονται.

35 Τεῖχος ὁ Θωμᾶς ἀκλόνητον
παρὰ τοῦ σωτῆρος τοῖς πιστοῖς ἡμῖν δέδοται,
τῷ τυράννῳ τὴν ἐκκλησίαν
διασώζων ἀνεπίβατον.

Ὄντως βροτῶν ἁλιέα σε
40 ἡ ἐπαγγελία τοῦ Χριστοῦ, Θωμᾶ, ἔδειξεν

18 τοῦ θείου πνεύματος τοῦ παρακλήτου Σφ 25-30 θεοτ. om. Ct heirm. γ' EE 102, n. 144, Cosmae 31 Φύσεις Jl Φεῖσαι ἀσθενεῖς ἐνίσχυσε Ct 35 ἀκλόνητον] στερρότατον Je

16 Is. 14,23 39 Matth. 4,19

ἐκ βυθοῦ γὰρ τῆς ἀσεβείας
δυσσεβῶν ψυχὰς ἐζώγρησας.

Τεῖχος τὸν Θωμᾶν προτείχισμα
τῇ εὐκλεεστάτῃ Δαμασκῷ, Χριστέ, δέδωκας,
45 προμαχοῦντα καὶ ἐκ κινδύνων
χαλεπῶν αὐτὴν ῥυόμενον.

θεοτ. Κόρης βρέφος ἀποτίκτεται,
ὁ δημιουργήσας τοὺς αἰῶνας βουλήματι,
ἣν ὑμνοῦμεν ὡς θεοτόκον
50 καὶ δικαίως μακαρίζομεν.

ᾠδὴ δ'. *Χριστὸς ὁ ἐρχόμενος*

Τὴν πατρόθεν δοθεῖσαν
κληρουχίαν, δέσποτα,
σωματωθέντι σοι,
ἐθνῶν τῶν παντοδαπῶν τοῖς ἀποστόλοις
55 διένειμας· ἐντεῦθεν
ἀπέστειλας τοῖς Ἰνδοῖς
φωστῆρα τὸν Θωμᾶν,
λύοντα τὸν ζόφον τῆς ἀσεβείας.

Τῷ φωτί σου λαμπρύνας
60 τῷ ἀΰλῳ, κύριε,
τοὺς ἀποστόλους σου
ἀφῆκας θεοφεγγεῖς ὥσπερ βολίδας,
Χριστέ, τῇ οἰκουμένῃ,
δι' ὧν ἡ σύμπασα γῆ
65 φωτισθεῖσα βοᾷ σοι·
« δόξα τῇ δυνάμει σου, κύριε ».

43 προτείχισμα] ἀκλόνητον Je προτείχισμα Ct 47-50 θεοτ. om. Ct heirm. δ' EE 101, n. 142, Cosmae 51 Τῇ Ct 53 σωματωθέντος σου Σφ 56-57 Θωμᾶν ἀπέστειλας / τοῖς Ἰνδοῖς ὡς φωστῆρα Je 64 γῆ om. Συ 65 βοᾷν Ct

Συνέπαθες
τῷ ὑπέρ σου παθόντι, ἀπόστολε·
διὰ τοῦτο
120 καὶ τῆς δόξης αὐτῷ ἐκοινώνησας,
ἧς ἡμᾶς μετόχους
γενηθῆναι, Θωμᾶ, καθικέτευσον·

Τὰ πέρατα
ὑψωθεὶς ἐπὶ ξύλου συνήγαγεν
125 ὁ δεσπότης
εἰς ἐκκλησίαν μίαν δι' αἵματος,
λογχευθεὶς Θωμᾶς δὲ
τοῦ δεσπότου ναὸς ἐχρημάτισεν.

Λογχεύεται
130 ὑπὲρ τῆς κεντηθείσης καὶ ἄβυσσον
εὐσπλαγχνίας
πηγασάσης πλευρᾶς τοῦ δεσπότου Θωμᾶς,
ἣν τριήμερον ζῶσαν
διερευνᾷ μετὰ θάνατον.

135 Ἁγνείας σε
καθαρὸν εὑρηκὼς ἐνδιαίτημα
θεοτ. ἐν γαστρί σου
καθαρὸς ὁ δεσπότης ἐκκένωσεν,
ἐκκαθᾶραι θέλων
140 τῶν ἀνθρώπων, παρθένε, τὸ φύραμα.

Κοντάκιον.

Ἦχος δ'. *Ἐπεφάνης σήμερον*

Ὁ σοφίας χάριτος
....

122 θεῷ καθίκετευε Ct 123-128 om. Σφ 128 διαιρεῖται τοῖς τέτρασι πέρασιν Je 135-140 om. Ct 138 ἐκκένωσεν sic cdd. pro ἐξεκένωσεν vel ἐκένωσεν habeas; ἑαυτὸν subaudeas
κοντάκ. ed. MR I, 345-346, om. Jl Σφ

129-134 Jo 20,26-29 138 Phil. 2,7

Je f. 54v ‖ ᾠδὴ ζ'. *Ὁ διασώσας ἐν πυρὶ*

Πῦρ νοητὸν ἐπὶ τῆς γῆς
τῆς θεογνωσίας ἀνήφθη
δι' ἀποστόλων σου, Χριστέ,
δυσσεβείας ψυχῶν καθαρτήριον·
145 ὑπερύμνητε κύριε,
ὁ θεὸς ὁ τῶν πατέρων,
εὐλογητὸς εἶ.

Ὡς εἰς παγκόσμιον σταλεὶς
ἄμητον Θωμᾶς ὁ θεόφρων
150 ἐκ τῶν ἐθνῶν σοι ἐκλεκτῶν
συναθροίσας λαὸν συνεκραύγαζεν·
« ὑπερύμνητε κύριε,
ὁ θεὸς ὁ τῶν πατέρων,
εὐλογητὸς εἶ ».

155 Ἣν ἐδομήσατο Θωμᾶς
ἐν ταῖς οὐρανίαις αὐλαῖς σου
ἀχειροποίητον σκηνὴν
τοῖς ἐν πίστει βοῶσί σοι δώρησαι,
« ὑπερύμνητε κύριε,
160 ὁ θεὸς ὁ τῶν πατέρων,
εὐλογητὸς εἶ ».

Ἣν ἐδωρήσω, ἀγαθέ,
τοῖς σοῖς ἀποστόλοις εἰρήνην
τῇ ἐκκλησίᾳ σου καὶ νῦν
165 τῇ ἀπαύστως βοώσῃ σοι δώρησαι,
« ὑπερύμνητε κύριε,
ὁ θεὸς ὁ τῶν πατέρων,
εὐλογητὸς εἶ ».

141 ab hinc usque ad finem troparia in Ct, lapsis foliis, desunt.
heirm. ζ' EE 101, n. 142 Cosmae 148 non legitur Jl 149 ἀμητὸν Σφ 155-161 om. Jl

⟨τριαδ.⟩ Διαιρουμένην συμφυῶς
170 ἐν ὁμοουσίοις προσώποις
καὶ ἑνουμένην μεριστῶς
ἐν οὐσίᾳ μιᾷ τὴν θεότητα
ἀνυμνήσωμεν λέγοντες·
« ὁ θεὸς ὁ τῶν πατέρων,
175 εὐλογητὸς εἶ ».

ᾠδὴ η′. *Εὐφράνθητι Ἱερουσαλὴμ*

Ἐβρόντησας ἀπὸ τῆς Σιὼν
τὰ ὑπερκόσμια, Χριστέ, μυστήρια
καὶ συνετάραξας τὴν οἰκουμένην,
τρέπων ἐξ ἀπιστίας εἰς πίστιν·
180 ἧς ἐδιδάχθη κῆρυξ Θωμᾶς λέγων·
« ὁ κύριος καὶ θεός μου,
εὐλογητὸς εἶ εἰς πάντας τοὺς αἰῶνας ».

Ἀπέστειλας ὥσπερ ἀστραπὰς
ἀποστίλβοντας τοῦ θείου πνεύματος
185 τοὺς ἀποστόλους σου τῇ οἰκουμένῃ
σὲ τὸ ἀνεξιχνίαστον φέγγος
δᾳδουχοῦντας· ὅθεν πιστῶς ὡς θεράπων
Μωσῆς ἀνεβόα·
« εὐλογητὸς εἶ εἰς πάντας τοὺς αἰῶνας ».

190 Ἐμέθυσας τῆς θεοπρεποῦς
γνώσεως ⟨— —⟩, Χριστέ, τὴν σύμπασαν,
τοὺς ἀποστόλους σου νεφέλας θείου λόγου
ἐξαποστείλας τῷ κόσμῳ
καὶ πλησθεῖσα πᾶσα ἡ γῆ ἀπὸ τοῦ φθόγγου αὐτῶν
195 μελῳδεῖ σοι·
« εὐλογητὸς εἶ εἰς πάντας τοὺς αἰῶνας ».

⟨τριαδ.⟩ Δοξάζομεν εὐαγγελικῶς
ἕνα οὐκ ἔκ τινος θεὸν γεννήτορα,

---

heirm. η′ EE 101, n. 142, Cosmae 180 ἐδείχθη Σφ 191 duae syllabae desunt, τὴν γῆν fortasse

---

194 Ps. 18,5

γεγεννημένον δὲ υἱὸν ἀνάρχως
200 ἐκ τῆς πατρῴας οὐσίας
καὶ ἓν πνεῦμα θεῖον πατρὸς ἐκπορευόμενον
καὶ βοῶμεν·
« εὐλογητὸς εἶ εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ θ′. *Εὔα μὲν τῷ τῆς παρακοῆς*

Τὴν ἄτεκνον πάλαι τῶν Ἰνδῶν,
205 ἀπόστολε, κληρουχίαν σὺ πολύτεκνον
ἔδειξας κλάδοις εὐσεβείας,
νῦν ὡραϊζομένην τῆς χάριτος
τῆς θείας ταύτην ἀρδεύσας τοῖς νάμασιν·
ὅθεν σε πάντες μεγαλύνομεν.

210 Κηρύττομεν δύο τοῦ Χριστοῦ,
ἀπόστολε, ἐνεργείας δύο φύσεων,
τῶν ἀσυγχύτως ἡνωμένων,
τῇ σῇ θεολογίᾳ πιστούμενοι
καὶ ἐκ τῆς θείας πλευρᾶς ἐμυήθης βοῶν·
215 « σὺ ὁ θεός μου καὶ ὁ κύριος ».

Ἰάσεων ἄφθονοι ῥοαὶ
ὡς ἔκ τινος ἀενάου κρήνης βρύουσι
πᾶσι τοῖς πίστει ἀδιστάκτῳ
τῷ θείῳ σου τεμένει προστρέχουσι,
220 Θωμᾶ, θεράπον κυρίου ἀοίδιμε·
ὅθεν σε πάντες μεγαλύνομεν.

Ἡλίου φαιδρότερος ἡμῖν
ἐφέστηκε τοῦ σωτῆρος ὁ ἀπόστολος
ἅπασι τοῖς κεκαθαρμένοις
225 ἐνθέως τῆς καρδίας τὰ ὄμματα,
ἀΰλῳ φέγγει ἐκλάμπων καὶ θείας ἡμῖν
δόξης στεφάνους προτεινόμενος.

---

heirm. θ′ EE 98, n. 139, Johannis et Stephani 206 κλάδους Jl 216-221 om. Jl 226 φέγγει] φωτὶ Jl

---

215 Jo 21,29

IN SANCTOS SERGIUM ET BACCHUM

Synaxarium, 115-116: Ἄθλησις τῶν ἁγίων μαρτύρων Σεργίου καὶ Βάκχου. Οἵτινες ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως. ..... Ἀρχῆθεν δὲ τὰ χριστιανῶν μυηθέντες καὶ τὰς θεοπνεύστους γραφὰς ἐκμαθόντες καλῶς, διαβληθέντες τῷ βασιλεῖ, προετράπησαν ἅμα αὐτῷ θυσίας προσενεγκεῖν τοῖς εἰδώλοις. Τοῦτο δὲ μὴ καταδεξάμενοι ..... παρεπέμφθησαν πρὸς Ἀντίοχον ..... Ἤδη δὴ πλησιάζοντες ἐξ ἐπιφανείας ἀγγέλων θείας τινὸς ἰσχύος καὶ θάρσους ἐπλήσθησαν. Ἀχθέντες δὲ ἐπὶ τοῦ δουκός, πρῶτος ὁ Βάκχος ἠγωνίσατο τυφθεὶς νεύροις ὠμοῖς ἐπὶ τοσοῦτον, ὡς ταῖς βασάνοις αὐταῖς ἐναποθανεῖν καὶ τὸν στέφανον τοῦ μαρτυρίου κομίσασθαι. Ὁ δὲ Σέργιος παρ᾽ αὐτοῦ τοῦ δουκὸς διαφόρως ἐξετασθεὶς καὶ κρηπῖσι καθηλωθεὶς σιδηραῖς καὶ τρέχειν ἀναγκασθεὶς μακροτάτας ὁδούς, καὶ αὖθις ταῖς αὐταῖς κρηπῖσι προσηλωθεὶς τὴν διὰ ξίφους δέχεται τελευτήν.

Paris. gr. 1619 = P, ff. 92ᵛ-94
Sabait. gr. 41 = Jd, ff. 69-69ᵛ
Sinait. gr. 562 = Σφ, ff. 36-37ᵛ

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Τὸ Σεργίου Βάκχου τε δοξάζω κλέος.

Ἦχος α΄.

ᾠδὴ α΄. *Ἄισωμεν πάντες λαοὶ*

Τὴν οὐρανόφρονα
μαρτυρικὴν δυάδα,
πρὸς Χριστὸν τὸν ζωοδότην συννεύσασαν
καὶ δι᾽ αὐτοῦ τῆς γνώμης
5 τὴν ἔνθεον παθοῦσαν ἕνωσιν
Σεργίου τε καὶ Βάκχου πάντες δοξάσωμεν.

---

tit. post acrostichiden in margine externo Ἰωάννου μοναχοῦ legitur in P et Σφ
heirm. α΄ EE 4, n. 5, Joannis

Ὄλβον οἱ μάρτυρες
καὶ ψυχοτρόφον κλέος
κεκτημένοι, τὴν ἀνένδοτον πύρωσιν
10 τοῦ πρὸς Χριστὸν τὸν κτίστην
ἀΰλου τε καὶ θείου ἔρωτος,
προσκαίρου βασιλέως πόθου ἠλόγησαν.

Σύμπονον φέροντες
τὸν ἀρχηγὸν τοῦ φθόνου,
15 οἱ τῇ πλάνῃ ζωγρηθέντες τοῦ ἀλάστορος
τοὺς θεοπνεύστῳ γνώσει
τροπαίοις τε συναριστεύοντας
τῷ δῆθεν βασιλεύοντι ἐνδιέβαλλον.

ᾠδὴ γ΄. *Στερέωσόν με, Χριστέ,*

Ἐν πίστει τῇ ἀληθεῖ
20 οἱ εὐκλεεῖς τοῦ σωτῆρος ὑπασπισταὶ
στερεωθέντες,
αὐτοῦ ᾑρετίσαντο τὴν μόνην
ἄχραντον θυσίαν τὴν ἀναίμακτον.

Ῥαντίσματι θεουργῷ
25 σημειωθέντες, θυσίας τῶν ψευδωνύμων
καὶ τὰ τεμένη
θεῶν ἐβδελύξαντο ὁσίως
Σέργιος καὶ Βάκχος οἱ ἔνδοξοι.

Γηθόμενοι ἐν θεῷ
30 καὶ τὰς ψυχὰς ἀγαπήσει τῶν ὁμοφύλων
συντετρωμένοι,
τῆς πλάνης οἰκτείροντες ῥυσθῆναι
Σέργιος καὶ Βάκχος ἱκέτευον.

---

7 Ὄλβιοι μάρτυρες Jd 12 βασιλείας πόθον Jd Σφ
heirm. γ΄ EE 4, n. 5, Joannis 27 ὁσίως om. Jd 31 ὡς τετρωμένοις Jd 32 οἰκτείραντες Jd 33 ἱκετεύουσιν Jd

---

19-28 Anal. Boll. 14 (1895) 393 § 26: Λοιπὸν ποιεῖ ὃ βούλει, ἐγὼ γὰρ δαίμοσιν οὐ προσκυνῶ, οὔτε εἰδώλοις θύω, ἀλλὰ κυρίῳ μου θυσίαν ἄμωμον ἐν αὐτῷ προσενέγκαι σπουδάζω.

ᾠδὴ δ'. *Κατενόησα, παντοδύναμε,*

Ἱερεῖα ὥσπερ ἀμώμητα
35 ἱερὰν πρὸς θυσίαν
ἀναντιρρήτως,
μάρτυρες, ἤγεσθε.

Ὁδοιπόροι ἀνεδείχθησαν
οὐρανίου πορείας
40 δι' ἐπιγείου
f. 93 ‖ Βάκχος καὶ Σέργιος.

Ὑπὲρ μέλι τὰ θεῖα δόγματα
ἐν τοῖς στόμασιν εἶχον
θεολογοῦντες
45 Βάκχος καὶ Σέργιος.

« Βδελυκτά σου σαφῶς τὰ λόγια »
Ἀντιόχῳ ἐβόων
« ὡς ἰοβόλα »
Βάκχος καὶ Σέργιος.

ᾠδὴ ε'. *Ἐκ νυκτὸς ὀρθρίζοντες*

50 « Ἀμοιβὴν οὐκ ἔνδικον
ἀλόγιστα φρονῶν
τοῖς εὐεργέταις ἔνειμας
πρὸς ἀπάτην ἐκλαλούμενος »,
Ἀντιόχῳ ἐβόων
55 οἱ ἔνδοξοι μάρτυρες.

---

heirm. δ' EE 17, n. 22, Joannis 38 ἀνεδείχθησαν] σοφοὶ ἐδείχθησαν Jd 42 φθέγματα Jd 47 Ἀντιόχων P
heirm. ε' EE 4, n. 5, Joannis 51 ἀλογίστων P 54 Ἀντιόχων P Ἀντίοχε Jd

---

38-41 Anal. Boll. 14 (1895) 384, § 12 « Ὁδεύοντες δὲ ἔψαλλον οἱ δύο ὁμοῦ, καὶ προσηύχοντο ὡς ἐξ ἑνὸς στόματος, λέγοντες οὕτως· Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθημεν, Κύριε, ὡς ἐπὶ παντὶ πλούτῳ· ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσομεν καὶ ἐκζητήσομεν τὰς ὁδούς σου· ἐν τοῖς δικαιώμασίν σου μελετήσομεν, οὐκ ἐπιλησόμεθα τῶν λόγων σου, ἀνταπόδος τοῖς δούλοις σου, ζήσομεν καὶ φυλάξομεν τοὺς λόγους σου ».
46-49 id. 387, § 17. ... Ὥστε μὴ συμβούλευε ἡμῖν τοιαῦτα, Ἀντίοχε· ἡ γὰρ γλῶσσά σου δολίως φθέγγεται, καὶ ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη σου ἔστιν.

Κελευσθεὶς μαστίζεσθαι
τοῖς νεύροις ἀφειδῶς
Βάκχος ὁ πανοίδιμος
καὶ τὴν σάρκα αἱμασσόμενος,
60 τὴν ψυχὴν ἐνευροῦτο
τοῖς ἄθλοις στεφόμενος.

Χορευτὴς οὐράνιος
ἀξίως γεγονώς,
μαρτυρικῆς ἠξίωται
65 καλιᾶς· τοῦ μαρτυρίου γὰρ
ὁ ἀοίδιμος Βάκχος
τὸν δίαυλον ἤνυσεν.

ᾠδὴ ϛ'. *Τὸν προφήτην διέσωσας*

Ὁ θυμὸς οὐκ ἐλώφησεν
ἀλογίστως φερόμενος·
70 νεκρὸν γὰρ αἰκίζει τὸν νόμον
πατήσας τῆς φύσεως.

Ὑπερέβη τὸ ἄλογον
τῇ συνέσει τὸν τύραννον·
κηδεύει γὰρ φῦλον ἀλόγων
75 ὁσίως τὸν μάρτυρα.

Τηλαυγῶς ἀναδέδειξαι
ἐν ταῖς θείαις ἐπαύλεσι
φωστήρ, πανοίδιμε Βάκχε,
ἐκλάμπων τῇ χάριτι.

---

61 στομούμενος Jd 64 δι' αἰκισμῶν ἠξίωσαι Σφ 65 εὐωχίας τοῦ μαρτυρίου Jd εὐωχίας μαρτυρίου γὰρ Σφ 67 ἤνωσεν Σφ
heirm. ϛ' EE 17, n. 22, Joannis 76 Τηλαυγὴς Jd Σφ

56-61: id. 380 § 18: ... Ἀπειρηκότων δὲ τούτων, ἐκέλευσεν στραφέντα αὐτὸν ἐπὶ τὴν κοιλίαν τύπτεσθαι ὑπὸ τεσσάρων νεύροις ὠμοῖς, λέγων αὐτῷ· Ἴδωμεν εἰ ῥύσεταί σε Χριστός σου ἐκ τῶν χειρῶν μου.
72-75: id. 393 § 27: Τὰ δὲ θηρία τῶν ἐκεῖσε τόπον καταλειπόντα τὰς ἑαυτῶν μάνδρας ἀνάμιξ ἅπαντα συνεληλύθει, οὐδένα μὲν τῶν ἀνθρώπων ἀδικοῦντα, ἀλόγῳ δὲ βοῇ τὴν τοῦ ἁγίου μάρτυρος ἀναίρεσιν ὀδυρόμενα.

ᾠδὴ ζ'. *Ἀβραμιαῖοι παῖδες*

80 Ἐποτνιᾶτο δεινῶς
τοῦ συνάθλου μὴ φέρων τὴν στέρησιν,
ἀλλ' αὐτοῦ τῆς δόξης
ἐπόπτης ὁ Σέργιος
γεγονώς, ἀνεβόα·
85 « εὐλογητὸς εἶ, ὁ θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Δεδολωμένα φρονῶν,
δολοπλόκως ἐλάλει ὁ τύραννος
ψυχοβλαβεῖς θωπείας
90 προσάγων τῷ μάρτυρι,
ὁ δὲ μάρτυς ἐβόα·
« εὐλογητὸς εἶ, ὁ θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

f. 93v || « Οὐ προστεθήσομαί σοι
95 αἰωνίας καμίνου ὑπέκκαυμα,
ἀλλ' ἀϊδίου δόξης
αἱροῦ με συμμέτοχον »
ἀνεβόα ὁ μάρτυς·
« εὐλογητὸς εἶ, ὁ θεός,
100 ὁ τῶν πατέρων ἡμῶν ».

---

heirm. ζ' EE 9, n. 11, Cosmae   80 δεινῶς] σφοδρῶς Jd   82 τὴν δόξαν P   87 Δεδουλωμένη φρενὶ Σφ   95 αἰωνίας] αἰκίας Jd   97 αἱροῦμαι Jd Σφ   98 om. Jd

---

80-82, id. § 18 Ὀργισθεὶς δὲ σφόδρα ὁ δοὺξ ἐκέλευσεν τὸν μακάριον Σέργιον ἐκβληθέντα τοῦ πραιτωρίου ἐν ἀσφαλείᾳ γενέσθαι, τὸν δὲ μακάριον Βάκχον ἐκέλευσεν τείνεσθαι εἰς μάστιγας.

87-90, id. 390 § 20: ὁ δοὺξ ... ἐκέλευσεν ἀκολουθεῖν καὶ τὸν μακάριον Σέργιον, καὶ (391) παρεκάλει αὐτὸν τοῦ θῦσαι. Ὁ δὲ οὐκ ἐπείθετο, γενναίῳ φρονήματι ἀποκρουόμενος τὰς κολακείας αὐτοῦ.

94-98, id. 389 § 19 Ἦν δὲ ὁ μάκαριος Σέργιος σφόδρα λυπούμενος καὶ ἀδημονῶν, ἀποληφθεὶς τοῦ μακαρίου Βάκχου, καὶ δακρύων ἔλεγεν· Οἴμοι, ἀδελφὲ καὶ συστρατιῶτά μου Βάκχε, οὐκέτι ψάλλομεν λέγοντες· Ἰδοὺ δή τι καλὸν ἢ τί τερπνον, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό.

Ξενοφανεῖ πεδίλῳ,
ἀθλοφόρε, ἡλούμενος, Σέργιε,
ἐν γλυκασμῷ καρδίας
ὁδὸν μαρτυρίου σου
105 ἀνεβόας· « δραμοῦμαι·
εὐλογητὸς εἶ, ὁ θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

ᾠδὴ η'. *Τὸν ἐν φλογὶ πυρὸς*

Ἀπηνεώθη σε
τὸ δαιμόνιον φῦλον
110 ἐγκαρτεροῦντα τοῖς δεινοῖς
τὸν νοερὸν ἀδάμαντα
καὶ βοῶντα βλέπον·
« ὑμνεῖτε κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας ».

115 Ζέων τῷ πνεύματι
καὶ τὰς τρήσεις τῶν ἥλων
τοῦ ἡλωθέντος ἐν σταυρῷ
ὁ ἀθλητὴς τῷ ἔρωτι
καρτερῶν, ἐβόα·
120 « ὑμνεῖτε κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας ».

---

104 ὁδῷ μαρτυρίου P
heirm. η' EE 4, n. 5, Joannis   108 Ἀπηνεώθησαν Jd Σφ   112 ἀθλοφόρον βλέπον Jd

---

101-105, id. 391 § 23 Καὶ προσκαλεσάμενος τὸν τῆς τάξεως βοηθὸν εἶπεν· Συντόμως κρηπῖδας μακροῖς ἥλοις ἡλώσαντες καὶ τοὺς ἥλους ὀρθοὺς ἐάσαντες ὑποδήσατε αὐτόν. Ὑποδηθέντος δὲ αὐτοῦ, καθεσθεὶς ἐπὶ ὀχήματος ὁ Ἀντίοχος ἐκέλευσεν ἔμπροσθεν αὐτοῦ τρέχειν τὸν μακάριον ...

108-111 Dan. 4,16

« Ὦ τῶν ἀγώνων σου »,
ἀνεβόων ἀξίως
« αἱ τῶν ἀγγέλων στρατιαί,
125 οὐρανοδρόμε Σέργιε »,
σὺν ἡμῖν βόησον·
« ὑμνεῖτε κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας ».

Κέντρον δεξάμενος
130 τῆς τριάδος τῷ πόθῳ,
καθηλωμένος ὁδεύει
ὁ ἀθλοφόρος Σέργιος
καὶ σκιρτῶν κραυγάζει·
« ὑμνεῖτε κύριον
135 καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Τύπος τῆς ἁγνῆς λοχείας σου*

Λύτρον ὑπὲρ σοῦ ἐκχέοντα
τὸν τοῦ παντὸς δεσπότην, ἔνδοξε Σέργιε,
μιμησάμενος
τὸ ἐναυχένιον αἷμά σου
140 ὡς θεῷ παντοκράτορι ἔσπεισας·
διό σε δυσωποῦμεν·
« ὑπὲρ ἡμῶν αὐτὸν ἱκέτευε ».

Ἔγνως ὡς ἐγνώσθης, Σέργιε,
ὡς ἐπεπόθεις τὸν ποθοῦντα ἐπόθησας,

---

126 ἡμῖν οὖν βόα Σφ 129-135 om. Jd
heirm. θ' EE 1, n. 1, Joannis τύπον EE 141 σου P 144 an 'εποθέσθης?

122-125, id. 388 § 19 Ταῦτα δὲ αὐτοῦ εἰπόντος, φωνὴ ἐγένετο ἐκ τῶν οὐρανῶν, λέγουσα· Δεῦρο, λοιπὸν ἀναπαύου ἐν τῇ ἡτοιμασμένῃ σοι βασιλείᾳ, γενναῖε (389) ἀθλητὰ καὶ στρατιῶτά μου, Βάκχε. Οἱ δὲ παρεστῶτες ἀκούσαντες τῆς φωνῆς ἐξέστησαν καὶ ἐνεοὶ ἐγένοντο. Αὐτὸς δὲ ἐπὶ πολὺ τυπτόμενος παρέδωκεν τὴν ψυχὴν τοῖς ἀγγέλοις. Id. 394 § 28 Φωνὴ ἐγένετο ἐκ τῶν οὐρανῶν λέγουσα· Δεῦρο καὶ σύ. στρατιῶτα καὶ ἀθλοφόρε Σέργιε, ἐν τῇ ἡτοιμασμένῃ σοι βασιλείᾳ· ἐκδέχονται γάρ σε ἀγγέλων στρατεῖαι, τάξεις πατριαρχῶν ...

145 διὸ εἵλκυσας·
ἀνεπιστρόφως γὰρ ἔδραμες
τὸν τὰ πάντα ἑλκύσαντα νεύματι,
διό σε ἱκετεύω·
τῆς σωτηρίας με ἀξίωσον.

150 Ὅλον ἐμαυτὸν προσάγω σοι
f. 94 ἵνα σε ὅλον προστασίαν ‖ ἐνέγκωμαι·
ἀλλ' ἐπίνευσον
καὶ τὸν δεσπότην ἱκέτευσον,
ἀθλοφόρε ἀοίδιμε Σέργιε,
155 σὺν Βάκχῳ, τοῦ σωθῆναι
καὶ πρὸς αὐτὸν καθοδηγῆσαί με.

Σῶτερ τοῦ παντὸς καὶ πρύτανι,
δημιουργὲ καὶ παντοκράτορ τῆς κτίσεως,
ταῖς δεήσεσιν
160 τῶν ἀηττήτων μαρτύρων σου
τὴν εἰρήνην τῷ κόσμῳ σου βράβευσον,
τηρῶν τὴν ἐκκλησίαν
ἀκαταπαύστως ἀστασίαστον.

---

146 ἀνεπίστροφος P 155 τὴν ζάλην κατευνᾶσαι Jd 156 καὶ πρὸς ζωὴν Jd καὶ πρὸς ἡμᾶς Σφ 157-163 om. Jd et θεοτ. addidit:

Ὦ τῶν ὑπὲρ νοῦν θαυμάτων σου·
τὸν τοῦ θεοῦ γὰρ λόγον σάρκα γενόμενον
μόνη τέτοκας
ὑπερφυῶς, μητροπάρθενε,
τὸν τὰ σύμπαντα θείῳ βουλήματι
σοφῶς διακρατοῦντα
καὶ κυβερνῶντα καὶ συνέχοντα.

7 OCT. *CANON* VIII

IN SANCTOS SERGIUM ET BACCHUM

Crypt. Δ.α. XXVI = F, ff. 38-40v

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Δυάδα πανόλβιον μαρτύρων μέλπω.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

Δυάδα ἐν ἐγκωμίοις στέφοιμι
μαρτύρων ὄλβιον,
τῶν ψυχικῶν παθῶν μου ἐξαιτῶν
καθαρθῆναι, ὁ ἄθλιος,
5 — Σεργίου, Βάκχου —, σήμερον
ταῖς ἱεραῖς αὐτῶν δεήσεσιν.

Ὑλώδη καταλιπόντες ὕπαρξιν,
τιμὴν καὶ πρόσκαιρον,
τῷ ζωηρῷ προσέδραμον φωτὶ
10 δι' ἐλπίδα ἐνθέου ζωῆς
Βάκχος ὁμοῦ καὶ Σέργιος,
οἱ ἀδελφόφρονες καὶ σύναθλοι.

Ἀΰλου ἠξιωμένοι χάριτος
καὶ ἀπολαύσεως
15 φωτοφαοῦς ζωῆς τε καὶ τρυφῆς,
ἀγγελόμορφοι μάρτυρες,
πᾶσιν ἀφθόνως νέμετε
τοῖς ἀσθενοῦσι τὰ ἰάματα.

---

heirm. α' EE 94, n. 133, Joannis   1 στέφη μοι   2 ὄλβιον pro ὀλβίαν, Psaltes 188   18 ἀσθενοῦσιν

θεοτ. * Ἀσπόρως τῷ τοῦ πατρὸς βουλήματι
20 ἐκ θείου πνεύματος
τὸν τοῦ θεοῦ συνείληφας υἱὸν
καὶ σαρκὶ ἀπεκύησας
τὸν ἐκ πατρὸς ἀμήτορα
καὶ δι' ἡμᾶς ἐκ σοῦ ἀπάτορα.

ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι ὁ θεὸς λόγος

25 Δίδου εὐπρόσδεκτον
λόγον μοι, δέομαι, ὁ θεός, ἀσμένως
ὅπως ὑμνήσω μετ' ᾠδῆς
f. 38v Βάκχου ‖ Σεργίου τε νῦν
τῶν θείων σου ἀ⟨γῶνας⟩·
30 θαυμαστὸς γὰρ ὑπάρχεις
τοῖς ἐν πίστ⟨ει αἰτ⟩οῦσιν εὐφροσύνην
καὶ μέγα ἔλεος.

Αἴνεσιν, κύριε,
ἡ ἐκκλησία σου τὴν σε⟨πτ⟩ὴν τελοῦσα
35 τῶν ἀθλοφόρων ἑορτήν,
θεοπρεπῶς σοι, σωτήρ,
προσφέρει σήμερον·
δι' αὐτῶν γὰρ παρέχεις
τοῖς ἐν πίστει αἰτοῦσιν εὐφροσύνην
40 καὶ μέγα ἔλεος.

Πλῆσον τὰ σύμπαντα
τῆς σῆς χρηστότητος ἐν εἰρήνῃ, σῶτερ,
διατηρῶν σου τὸν λαὸν
ταῖς τῶν ἁγίων εὐχαῖς

19-24 θεοτ. ed. MR I, 79
heirm. β' EE 104, n. 147, Andreae   2 ὁ λόγος   27 μεταδῆς   29 mutilus versus propter nonnullas pagellas insuper pessumdatas in medio codice, cf. enim vv. 76, 122, 221.   31 versum mutilum sic integravi   41 σύμπασα

45 καὶ τοὺς ἐχθροὺς ἡμῶν
διὰ τάχους πατάξας,
τοῖς πιστοῖς βασιλεῦσι δίδου νίκας
καὶ μέγα ἔλεος.

θεοτ. Ἴδετε, ἴδετε
50 ὅτι ἐγώ εἰμι ὁ θεὸς ὁ λόγος,
ὁ ἐκ παρθένου κυηθεὶς
καὶ μετὰ τόκον ἁγνὴν
διαφυλάξας αὐτήν·
ὡς θεὸς γὰρ συμπληρῶν
55 σὺν τοῖς ἄνω τὰ κάτω καὶ παρέχων
τὸ μέγα ἔλεος.

ᾠδὴ γ'. *Εὐφραίνεται ἐπὶ σοὶ*

Ἀχώριστοι τῇ ψυχῇ,
διῃρημένοι ἐν δυσὶ σώμασι
διὰ Χριστὸν ὤφθητε,
60 Σέργιε καὶ Βάκχε ἀοίδιμοι.

Ναρκῶντι τῷ δικαστῇ
καὶ θῦμα μῦθον πρὸς ὑμᾶς φέροντι
εἰλικρινῶς ἔστητε,
Σέργιε καὶ Βάκχε ἀοίδιμοι.

65 Οὐχ εἵλετο ἀδελφὸν
ἀποστερεῖσθαι ὁ σεπτὸς Σέργιος,
ἄπνουν ὁρῶν σώματι
Βάκχον· σύνταφοι ὡς ὁμότροποι.

θεοτ. * Σὺ μόνη τοῖς ἐπὶ γῆς
70 τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος

---

heirm. γ' EE 94, n. 133, Joannis 65 οὐχ; ἀδελφοὶ 66 ἀποστερεῖσαι 68 Βάκχω συνταφει ὡς ὁμότροποι 69-72 θεοτ. in MR I, 80 70 τὸν

65-68 cf. notam ad vv. 80-82 canonis VII

μήτηρ θεοῦ γέγονας,
ὅθεν σοι τὸ « χαῖρε » προσάγομεν.

ᾠδὴ δ'. *Ἐπαρθέντα σε ἰδοῦσα (ἡ ἐκκλησία)*

Λόγοις παρρησίας ὁμοζωοῦντες
καὶ τὸν Χριστὸν κηρύττοντες,
75 οἱ ἄθεοι γνόντες
f. 39 φθόνῳ ‖ τῷ δ⟨ικάζοντι⟩
δι⟩έβαλλον ἄσεμνα
Σέργιον καὶ Βάκ⟨χον τοὺς⟩ μάρτυρας.

Κραναὸς ὑπάρχων, ἔξα ⟨γριαίνων⟩
80 τοῖς εὐσεβέσιν ἔνειμεν
ἀντευεργεσ⟨ίαν⟩
⟨τὸν θά⟩νατον ὁ δείλαιος,
κακίᾳ νυττόμενο⟨ς,⟩
⟨Βα⟩κχῳ καὶ Σεργίῳ τοῖς μάρτυσιν.

85 Ἴσοι ὡς τὸ φρόνημα κεκτημένοι
ἴσον καὶ κλέος ἤρασθε,
δι' ἐπιφανείας
τοῦ Χριστοῦ ἡγήσασθε
ὡς εἷς πρὸς τὴν βάσανον,
90 Σέργιε καὶ Βάκχε μακάριοι.

θεοτ. * Ἀπειρογάμως ἐκύησας, ὦ παρθένε,
καὶ μετὰ τόκον ὤφθης
παρθενεύουσα πάλιν·
ὅθεν ἀσιγήτοις φωναῖς
95 τὸ « χαῖρε » σοι, δέσποινα,
πίστει ἀδιστάκτῳ κραυγάζομεν.

---

heirm. δ' EE 94, n. 133, Joannis 73-74 nom. abs. 76 lacunam sic complevimus 79 Κρονεος? 79-84 unum et idem foramen nonnullas litteras subtrahit 81 ἀντεργεσι 91-96 θεοτ. MR I, 81 91 Ἀπειρόγαμος MR

72-95 Luc. 1,28

ᾠδὴ ε΄. *Σύ, κύριέ μου, φῶς*

Ὄλβιοι καὶ φαιδροὶ
Ἀντιόχῳ παρέστητε
ἓν φρόνημα κεκτημένοι,
100 ἔρωτι συναφθέντες
τῷ θείῳ, θεῖοι μάρτυρες.

« Νόμοις καὶ προσταγαῖς
ἀλογίστοις καὶ δόγμασιν
οὐκ εἴκομεν », Ἀντιόχῳ
105 ἀνεκραύγαζον Βάκχος
καὶ Σέργιος οἱ κάλλιστοι.

Μύσους φθοροποιοῦ
πεπλησμένος ὁ τύραννος,
πῦρ, μάστιγας τοῖς ἁγίοις
110 ἀσεβῶς εὐτρεπίζει,
ὁ ἄφρων τοῖς θεόφροσιν.

θεοτ. * Σέ, ὅπλον ἀρραγὲς
κατ' ἐχθρῶν προβαλλόμεθα,
σὲ ἄγκυραν καὶ ἐλπίδα
115 τῆς ἡμῶν σωτηρίας,
θεόνυμφε, κεκτήμεθα.

ᾠδὴ ϛ΄. *Θύσω σοι*

Ἄπειρος
τῶν τοῦ θεοῦ κριμάτων ἡ ἄβυσσος,
δι' ἧς γηθόμενος Βάκχος
f. 39v 120 τοῖς βουνεύροις κάλλιστα ἠθλοφό||ρησεν
καὶ τῆς νίκης
ἀφθαρτό⟨τατο⟩ν γέρας <κομ>ίζεται.

---

heirm. ε΄ EE 94, n. 133, Joannis 104 ἔκοιμεν 111 τοῖς] τῆς
112-116 θεοτ. ed. MR I, 81 114 ἔγκυραν˙ 118 τόν 120 νάλλιστα
heirm. ϛ΄ EE 94, n. 133, Joannis 122 foramen litteras subtrahit

---

94-101 Anal. Boll. XIV 383, § 10: Καὶ παρκχρῆμα πέμπει (ὁ Μαξιμιανὸς) αὐτοὺς τῷ δουκὶ Ἀντιόχῳ, κελεύσας ἁλύσεσι βαρείαις δεθέντας κατὰ παντὸς τοῦ σώματος
102-104 Hymnographi libera narratio

Ῥύπτεται
ζωοκερδῶς ὁ Βάκχος δι' αἵματος
125 καὶ πρὸς τὴν κλῆ⟨σιν τῆ⟩ς ἄνω
βασιλείας πίστει μεταναστεύει,
⟨τῷ⟩ Σεργίῳ
ἀδελφικῶς καταλείψας τὴν μ⟨ίμη⟩σιν.

« Τάφον μὲν
130 πρὸς μικρὸν εἰ καὶ μόνος παρῴκησας,
ἐγκαταλείψας οὐδόλως
τὸν ἐμὸν τῷ πνεύματι καὶ τῇ δόξῃ
συναίμονα »
Βάκχῳ ἀθλῶν ὁ Σέργιος ἔκραζεν.

θεοτ. 135 * Ὢ θαῦμα
τῶν πάντων θαυμάτων καινότερον,
ὅτι παρθένος, ἐν μήτρᾳ
τὸν τὰ σύμπαντα περιέχοντα
ἀπειράνδρως
140 συλλαβοῦσα, οὐκ ἐστενοχώρησεν.

ᾠδὴ ζ΄. *Ἐν τῇ καμίνῳ*

Ὑπὸ τοῦ πλάνου —
οἱ ἀθληταὶ ἀναγκαζόμενοι
θύειν τοῖς εἰδώλοις — ἔλεγεν ἐμμανῶς —˙
οἱ πρὸς τοῦτον ἀντεβόησαν˙
145 « Χριστὸν γὰρ ἔχομεν
λυτρωτὴν καὶ δεσπότην καὶ κύριον ».

« Ῥῆσις ληρώδης
ματαιοτήτων πλήρης, ὦ δικαστά,
οὔ μοι ἀκοαῖς εὐπρόσιτος, παρά σοι

---

124 ζωοκερδῶς sic cd., om. lex = vitaliter 127 lacuna foramine exhibita sic conieci 128 lacuna ipsius foraminis 135-141 θεοτ. ed. MR I, 82 136 καινοτέρων 138 περιέποντα
heirm. ζ΄ EE 94, n. 133, Joannis 143 ἔλεγεν: ut incisum patet 144 οἱ

150 αἱ φθεγγόμεναί σοι βάσανοι,
θανεῖν γλιχόμενος
ὑπὲρ Χριστοῦ », Ἀντιόχῳ ἐκραύγαζον.

Ὡς ἄριστος
ξενοφανεῖ πεδίλῳ προσηλωθεὶς
155 τρέχει εὐπειθείας τρίβον πίστει δρομεὺς
τῷ δεσπότῃ μέλπων Σέργιος·
« εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, κύριε ».

θεοτ. * Τὸ τοῦ ὑψίστου
160 ἡγιασμένον θεῖον σκήνωμα,
χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρά,
θεοτόκε, τοῖς κραυγάζουσιν·
« εὐλογημένη σὺ
ἐν γυναιξὶν ὑπάρχεις, πανάμωμε.

f. 40 ᾠδὴ η´. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

165 Νεύσει ⟨νο⟩ὸς τὸν σύναθλον
ὁ θεῖος Σέργιος
Βάκχον τὸν ἔνδοξον
ἀμφοῖν γλιχόμενος πνεύματι
ὡς ἐν σώματι συνεῖναι αὐτῷ·
170 διὸ καὶ ἔτυχε πιστῶς
τοῦ ποθουμένου βοῶν·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

Μάρτυς σὺν μάρτυρι εἰς ἓν
175 φῶς μετατ ⟨ίθεται

150 φθεγγόμενοι σου 151 nom. abs. 152 ἐκραύγαζεν malim 154 πεδ-ίλῳ] πεδὶ δὲ 155 εὐπιθείας τρίβω 159-164 θεοτ. ed.in MR I, 83 163-164 εὐλογημένη σὺ ἐν γυναιξὶν / ὑπάρχεις, πανάμωμε MR, cd. εὐλογημένος εἶ κτλ. ut in vv. 157-158
heirm. η´ EE 94, n. 133, Joannis 165-182 contra acrostichiden ordinem cd. invertit stropharum 172-173, 181-182 orationem detruncat cd.

158 Dan. 3,53 163-164 Luc. 1,42

ἀνέ⟩σπερον· δύο γὰρ εἷς
καὶ τὴν προαίρεσιν ⟨εἴλη⟩φαν
καὶ τὰ γέρα ἐκ μιᾶς φωταυγοῦς
⟨ἐ⟩γκρατορίας καὶ θεοῦ
180 μόνου, ᾧ μέλπουσιν·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον »

Εὐθύτης ἠγάπησεν ὑμᾶς
ἡ ἀδιάστροφος,
185 Βάκχε καὶ Σέργιε·
ἐκ γὰρ τῆς πίστεως, ἅγιοι,
ἀδελφὰ φρονεῖν ποθήσαντες,
ἡ κατὰ σάρκα ἐν ὑμῖν
φύσις δεδούλωται,
190 μελῳδοῦντες·
« πάντα τὰ ἔργα κυρίου τὸν κύριον »

θεοτ. * Σὺ μόνη ἐν πάσαις γενεαῖς,
παρθένε ἄχραντε,
μήτηρ ἐδείχθης θεοῦ,
195 σὺ τῆς θεότητος γέγονας
ἐνδιαίτημα, πανάμωμε,
μὴ φλογισθεῖσα τῷ πυρὶ
τοῦ ἀπροσίτου φωτός·
ὅθεν πάντες
200 σὲ εὐλογοῦμεν, Μαρία θεόνυμφε.

ᾠδὴ θ´. *Λίθος ἀχειρότμητος ὄρους*

Λαμπροὶ οἱ ἀείζωοι πίστει
τῷ μαρτυρίῳ ἐν ὑψίστοις

176 διὸ; γὰρ verum interpretare 177 . . . φαν; syll. restitui foramine subtractas 179 post foramen νκρατωρίας legimus; om. lex. cf. Psaltes 261 180 ὁ μελπ. εὐ 187-188 nom. abs. 187 φρονῆν 192-200 θεοτ. ed. MR I, 84
heirm. θ´ EE 94, n. 133, Joannis

176 εἷς: Anal. Boll 14 (1895) 379 r. 13 προσηύχοντο ὡς ἐξ ἑνὸς στόματος, id. 384 rr. 16-17, 385 rr. 14-15

198 Ex. 3,2

Σέργιος καὶ Βάκχος ἐπὶ γῆς
τελειωθέντες Χριστῷ παρέστησαν,
205 ποικιλοτρόπως νέμοντες
τοῖς ἀσθενοῦσι τὰ ἰάματα.

Πέπαυται τυράννου ἡ θύσις
ἀναστομώσεσιν ἐνθέοις
Βάκχου καὶ Σεργίου τῶν σεπτῶν,
210 καινίζεται δὲ πᾶσιν εὐσέβεια
τοῖς τὴν αὐτὴν πανήγυριν
ἐν ἐγκωμίοις ἑορτάζουσιν.

Ὄλεσον τὰ βάρβαρα ἔθνη
ἰσχὺν τῷ ἄνακτι παρέχων,
215 πᾶσι τὴν εἰρήνην σου ἡμῖν
βράβευσον, σῶτερ, καὶ τὰ ἐλέη σου
ταῖς ἱκεσίαις, δέσποτα,
τῶν ἀηττήτων ἀθλοφόρων σου.

f. 40v θεοτ. ‖ Ἄξιον σοί, θεοτόκε,
220 τίς εὐπορήσει μ⟨ελῳδῆ⟩σαι σε;
σὺ γὰρ τῶν αἰώνων τὸν κτίστην
⟨συλλαβοῦσα⟩ ἀτρέπτως, δέσποινα,
τοῖς ἐπὶ γῆς ⟨ἐκύη⟩σας·
ὅθεν σε πάντες μεγαλύνομεν.

---

210 εὐσέβειαν 211 τοῖς: τους 213 Ὄλεσον sic cd. contra acrostichiden quae Ω postulat 219 ἐν σοί 220 mutilo cd. μ⟨ . . . ⟩ σε, sic verbum complevimus 222 ⟨συλλαβοῦσα⟩ sic lacunam cd. integravimus 223 ⟨ἐκύη⟩σα foramen membranae litteras subtrahit

IN SANCTAM PELAGIAM

Synaxarium, 117-118: Μνήμη τῆς ὁσίας Πελαγίας τῆς ἀπὸ ἑταιρίδων. Αὕτη ὑπῆρχεν ἐκ πόλεως Ἀντιοχείας ταῖς ὀρχήστραις καὶ θεατροσκοπίαις σχολάζουσα καὶ παλλακευομένη τῇ πόλει. Διὸ καὶ πολλὴν ἐκ τῆς πονηρᾶς αὐτῆς ἐργασίας συνεστήσατο ὕπαρξιν καὶ πλοῦτον πολὺν συνήγαγε. Κατηχηθεῖσα δὲ τὸν λόγον τῆς πίστεως παρά τινος ἐπισκόπου Νόννου καὶ τὸ πρὸς σωτηρίαν εἴληφε βάπτισμα, θερμῶς δὲ τῇ μετανοίᾳ προσελθοῦσα, μετὰ τὸ διανεῖμαι τὸν πλοῦτον τοῖς ἐνδεέσι τρίχινα περιεβάλετο καὶ εἰς ἄνδρα μετασχηματισθεῖσα καταλαμβάνει τὸ τῶν ἐλαιῶν ὄρος· ἐν ᾧ θεαρέστως βιώσασα πρὸς κύριον ἐξεδήμησε.

Vat. gr. 2 = V, ff. 24v-26v
Crypt. Δ.α. XXXII = Ct, ff. 5-5v
Vat. gr. 2270 = Vg, ff. 99v-101v
Paris. gr. 1619 = P, f. 94
Paris. Suppl. gr. 33 = S, ff. 43v-44v
Sinait. 555 = Σσ, ff. 79v-80v
Sinait. 580 = Σψ, ff. 123-125

Ὁ κανών.
Ἦχος δʹ.
ᾠδὴ αʹ. *Ἄισωμεν τῷ κυρίῳ*
τῷ παραδόξως βυθίσαντι

Ἐξέφυγες, Πελαγία,
τῆς ἁμαρτίας τὸ πέλαγος,
εἰς λιμένα ἐλθοῦσα
τοῦ θείου βαπτίσματος,
5 ἐν ᾧ καὶ κατεσκήνωσας.

Τὸ βάρος ἀποθεμένη
τὸ τῆς αἰσχύνης, ἐβάστασας

---

tit. in margine P Γερμανοῦ legitur
heirm. αʹ EE 95, n. 134, Germani 3 εἰσελθοῦσα Ct 7 βαστάσασα P

1-14 Ioh. Chrysostomus, hom. LXIII, PG 58, col. 637: κατεφρόνησεν ἁπάντων ἐκείνων ... ἅπαντα ἀπονιψαμένη διὰ τῆς χάριτος, καὶ μετὰ τὸ βάπτισμα πολλὴν ἐπιδειξαμένη τὴν φιλοσοφίαν.

τὸ ζυγόν, Πελαγία,
τὸ τῆς κατανύξεως
10 καὶ τοῦτο οὐ κατέλιπες.

Τὸν πόθον τῶν ὁρωμένων
ὑπεριδοῦσα, τὴν νέκρωσιν
τῶν παθῶν ἐνεδύσω
καὶ θάνατον ἔλαβες
15 ζωῆς ἐπιδοξότατον.

θεοτ. Σὲ τὴν ἄχραντον παρθένον,
ἀγγέλων καὶ ἀποστόλων τὸ καύχημα
καὶ τῶν ἁγίων μαρτύρων
στερέωμα ἄσειστον,
20 παρθένε, μακαρίζομεν.

ᾠδὴ β'. *Πρόσεχε, οὐρανέ, καὶ λαλήσω*

Σήμερον τῷ Χριστῷ Πελαγία
ἐν μετανοίᾳ τὸ τέλος προσήγαγεν.

Ἀσώματον ἐπὶ γῆς πολιτείαν
δι' ἐγκρατείας ἐκτήσω, παγκόσμιε.

25 Κύριε, ταῖς εὐχαῖς Πελαγίας
τοὺς οἰκτιρμούς σου τῷ κόσμῳ κατάπεμψον.

θεοτ. Ἄχραντε θεοτόκε παρθένε,
ὑπὲρ ἡμῶν τὸν σωτῆρα ἱκέτευε.

11-15 om. S Τῷ πόθῳ V S Σσ 13-14 τοῦ Χριστοῦ Πελαγία / τῆς ἡδονῆς καὶ πρόσκαιρον V S 16-20 aliud θεοτ. in Ct: Τὸν λόγον τὸν τοῦ κυρίου / εἰσδεξαμένη, ἀείμνηστε, / ἐν τῇ γῇ, τῆς καρδίας / καρπὸν τὴν μετάνοιαν / ἐβλάστησας, θεόληπτε.
aliud quoque in S Vg Σσ et Σψ: Σὲ τὴν χαρὰν ed. PID, ρξγ'
odes β' om. Ct Vg S Σσ Σψ
heirm. β' cfr. EE 78, n. 110, Germani in ἦχ. β'

ᾠδὴ γ'. *Ἐν κυρίῳ θεῷ μου*

Ἰατρεῖον ὑπάρχεις
30 τοῖς ἀσθενοῦσι τὴν ἀπόγνωσιν
βοῶσα, Πελαγία,
« πάντα ἰσχύειν τὴν μετάνοιαν ».

Τὴν σωτήριον χάριν
ἐν τῇ ψυχῇ σου θησαυρίσασα,
35 κατέλιπες τὸν κόσμον
τῆς ἀφροσύνης, παμμακάριστε.

Πάντες πίστεως ᾠδαῖς
τὴν θεόφρονα μακαρίσωμεν·
ἐν χώρᾳ γὰρ τῶν ζώντων
40 νῦν ψαλμικῶς ἀναπέπαυται.

θεοτ. * Τὴν θεομήτορα παρθένον
ὀρθοδόξως ἀνυμνήσωμεν·
πρεσβεύει γὰρ ἀπαύστως
ὑπὲρ ἡμῶν πρὸς τὸν κύριον.

ᾠδὴ δ'. *Εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην*

45 Αἱ οὐράνιαι τῶν ἀσωμάτων ἔχαιρον τάξεις,
τὴν τῶν ἔργων σου μετάθεσιν
ψαλμικῶς μακαρίζουσαι.

---

heirm. γ' EE 104, n. 146, Germani 35 κόσμον] πλοῦτον Ct 40 ἀναπέπαυσαι S 41-44 ed. MR III, 461 44 εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν Ct versus ab ode δ' usque ad finem desunt in P in quo cecidit pagella
heirm. δ' EE 95, n. 134, Germani 45 οὐράνιαι δυνάμεις Vg, τάξεις] λέξεις Ct

---

40-41 Ps. 114,9 45 Mar 12,25; 24,36

Κατεπάτησας τοῦ ἐχθροῦ τὰς παγίδας γενναίως,
τοὺς γὰρ πόδας σου ἐστήριξας
50 ἐν τῇ πέτρᾳ τῆς πίστεως.

Κατεσκήνωσας ἐν ταῖς αὐλαῖς τοῦ πάντων δεσπότου
καὶ ἐπλήσθης ἀγαθῶν αὐτοῦ,
Πελαγία, ὡς γέγραπται.

θεοτ. * Μήτηρ ἄχραντε, εὐλογημένη ἁγνὴ παρθένε,
55 τοὺς ὑμνοῦντάς σε περίσῳζε
ἀπὸ πάσης περιστάσεως.

ᾠδὴ ε'. *Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας
ὑμνοῦμέν σε, κύριε, ὁ θεὸς ἡμῶν
φώτισον τὰς ψυχὰς ἡμῶν.*

Τῷ ὄρθρῳ τοῦ κυρίου ἀνατείλασα,
f. 25v ἐκοίμησας, ἔνδοξε, || ἡδονῶν τὰς ὁρμὰς
καὶ ἔλαβες τῶν πραέων τὴν γῆν.

60 Ἐξ ἔργων πονηρῶν ἐπιστραφεῖσα,
τῷ ἀγαθῷ προσέδραμες, Πελαγία, Χριστῷ
ἐν προσευχαῖς τοῦ δουλεῦσαι αὐτῷ.

Τὴν μνήμην τῆς ὁσίας Πελαγίας
ἐφαίδρυνας, κύριε, ἐν τοῖς πέρασιν·
65 εὐχαῖς αὐτῆς σῶσον πάντας ἡμᾶς.

54-56 θεοτ. ed. MR II, 602 56 περιστάσεως] ἀνάγκης MR
heirm. ε' EE 95, n. 134, Germani 2 heirm. αἰνοῦμεν σε EE 3 heirm. εἰσάκουσον τῆς φωνῆς ἡμῶν EE alium heirm. perperam ponunt Ct et Σσ: Ὁ ἀνατείλας τὸ φῶς ed. EE 104, n. 146, Germani 57 ἀνατείλασα] ἀναβλέψασα Ct Vg 58 ἐκοιμήθης Ct, τὰς ὁρμὰς] τὸν θυμὸν Ct Vg 57-62 alia troparia in Σσ:

Τὸν λόγον τῆς ἀληθείας
ἐν τῇ καρδίᾳ σου ἔχουσα, μυστικῶς
ἀνεβλάστησας γλύκασμα τὴν μετάνοιαν.

60 Τὰ πάθη ἀπομαράνασα
τῇ ἀσκήσει σου γέγονας τοῦ θεοῦ
οἰκητήριον, ὅλη γὰρ συνεκράθης αὐτῷ.

63-65 om. V Σσ

48-49 Ps. 24,15 51-52 Ps. 64,5

θεοτ. Ὁ λόγος ἐν τῇ γαστρί σου, θεόληπτε,
ᾤκησεν, ὁ θεὸς ὡς εὐδόκησεν,
ἄνθρωπος γεγονὼς δι' ἡμᾶς.

ᾠδὴ ς'. *Ὁ τὸν προφήτην ἐν τῇ κοιλίᾳ*

Ὁ καταλάμψας φωτὶ θαυμάτων
70 τὴν μνήμην τῆς θεοφόρου,
ἅγιε κύριε, βοήθησον ἡμῖν.

Ὁ πρὸς τὴν ἄνω ζωὴν οἰκῆσαι
ποιήσας τὴν θεοφόρον,
ἅγιε κύριε, βοήθησον ἡμῖν.

75 Ὁ ἐν τῇ μνήμῃ τῆς θεοφόρου
τὸν κόσμον εὐεργετήσας,
ἅγιε κύριε, βοήθησον ἡμῖν.

θεοτ. Ὁ τὴν παρθένον διαφυλάξας
καὶ μετὰ τόκον ἁγίαν παρθένον,
80 ἅγιε κύριε, βοήθησον ἡμῖν.

ᾠδὴ ζ'. *Ὁ ἐν τῷ ὄρει Μωϋσῇ συλλαλήσας*

Ὁ θαυμαστώσας διὰ τῆς ἐγκρατείας
τὴν ἔνδοξον καὶ πανένδοξον Πελαγίαν,
εὐλογητὸς εἶ, κύριε,
ὁ θεὸς τῶν πατέρων ἡμῶν.

66-68 aliud θεοτ. in Ct et Vg: Ἐτέχθης ἐκ παρθένου ὡς εὐδόκησας / καὶ ἔσωσας, κύριε, / τὸν πεσόντα Ἀδάμ· / ἐλέησον τοὺς ὑμνοῦντάς σε.
heirm. ς' EE 104, n. 146, Germani 78 διαφυλάξας] καὶ μετὰ τόκον Ct 79 παρθένον διαφυλάξας Ct Vg
heirm. ζ' EE 104, n. 146, Germani 82 πανένδοξον] παγκόσμιον Ct Vg S

85 Ὁ ἀναδείξας Πελαγίας τὸν βίον
εἰκόνα μετανοίας τῇ ἐκκλησίᾳ,
εὐλογητὸς εἶ, κύριε,
ὁ θεὸς τῶν πατέρων ἡμῶν.

Ὁ ἐν τῷ ὄρει ὑψηλῆς πολιτείας
90 φαιδρύνας τὴν ὁσίαν ἐν τῇ ἀσκήσει,
εὐλογητὸς εἶ, κύριε,
ὁ θεὸς τῶν πατέρων ἡμῶν.

Ἐν τῷ πελάγει τῆς σεπτῆς ἐγκρατείας
προθύμως εἰσελθοῦσα ἡ Πελαγία,
95 θαυμάτων χάριν εἴληφεν
ἐκ θεοῦ τοῦ σωτῆρος ἡμῶν.

θεοτ. * Ὁ ἐν τῇ μήτρᾳ τῆς παρθένου οἰκήσας
καὶ ταύτην οὐρανῶν πλατυτέραν δείξας,
εὐλογητὸς εἶ, κύριε,
100 ὁ θεὸς τῶν πατέρων ἡμῶν.

ᾠδὴ η´. *Τὸν βασιλέα Χριστόν, - ὃν ὡμολόγησαν*

Τὸν βασιλέα Χριστὸν
τὸν θαυμαστώσαντα τὴν φαιδρὰν Πελαγίαν
ἐπὶ τῆς γῆς ἐκλάμψαι, ὥσπερ ἥλιος φαιδρός,
πάντα τὰ ἔργα ὑμνεῖτε
105 καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Τὴν θεοφόρον, πιστοί,
ἐγκωμιάσωμεν, ὅτι ἐν τῇ ἀσκήσει
τὸν ἐχθρὸν κατέτρωσε, βοῶσα τῷ Χριστῷ·

86 μετανοίας] ἀρετῶν ἐν Ct Vg S 89-92 om Ct Vg 93-96 om. S Σσ 95-96 εὐλογητὸς εἶ, κτλ. Ct 97-100 θεοτ. ed. MR I, 131 101-106 om. Ct Σψ heirm. η´ EE 104, n. 146, Germani 103 φαιδρὸν Σσ 109 βοῶντα Χριστῷ Ct S.

110 « πάντα τὰ ἔργα ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Τῶν ἐπιγείων τερπνῶν
καὶ τῶν τοῦ σώματος ἡδονῶν ψυχοφθόρων
115 ἐκφυγοῦσα πάντων, Πελαγία, ἀνδρικῶς
ἔλαβες στέφανον νίκης
ἐκ τοῦ ἀθανάτου
θεοῦ καὶ βασιλέως.

θεοτ. * Τὸν βασιλέα Χριστόν,
120 ὃν ἡμῖν ἔτεκεν ἡ παρθένος Μαρία
καὶ μετὰ τόκον ἔμεινε παρθένος ἁγνή,
πάντα τὰ ἔργα ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ´. *Σὲ τὴν ἀπειρόγαμον θεοτόκον*

125 Σὺ τὸν ὄφιν ᾐχμαλώτευσας πόνοις,
ἐγκρατείᾳ καὶ δεήσει,
Πελαγία ἀεισέβαστε, ἀμνὰς τοῦ Χριστοῦ,
ἔχουσα τοῦ σταυροῦ τὴν ἰσχύν.

Σὺ τῆς ἁμαρτίας τὸν χιτῶνα
130 ἀπεδύσω δι᾽ ἐγκρατείας,
Πελαγία θεόφρον, ἀεισέβαστε,
τῷ τύπῳ τοῦ τιμίου σταυροῦ.

θεοτ. Σὲ τὴν τὸν θεὸν λόγον δεξαμένην
ὑπὲρ λόγον ἐν γαστρί σου
135 καὶ τεκοῦσαν σαρκὶ εἰς σωτηρίαν ἡμῶν
ὕμνοις μεγαλύνομεν.

115 πάντων] πίστει Ct 117 ἀθλοθέτου Ct 119-124 ed. MR II, 692 121 ἔμεινε ...] πάλιν μένει παρθένος Ct heirm. θ´ EE 97, n. 137, Joannis 126 ἐγκρατείας καὶ δεήσεως S 127 τρόποις διό σε Πελαγία S 128 εὐσεβοφρόνως μεγαλύνωμεν S 129 τὸν] τοῦτον S 130 ἀπεκδύσω Σσ 131 ἀεισέβαστε constructionis discordia, Mitzakis 121 135 τεκοῦσα Vg

IN SANCTOS EULAMPIUM ET EULAMPIAM

Synaxarium, 125-127: Ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐλαμπίου καὶ Εὐλαμπίας τῶν αὐταδέλφων. Οὗτοι ἐγένοντο ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως ἐν Νικομηδείᾳ ..... Ὁ οὖν ἅγιος Εὐλάμπιος ἀπεστάλη παρὰ τῶν σὺν αὐτῷ πρὸς τὴν πόλιν Νικομήδειαν ..... Ὁ δὲ ἀπελθὼν καὶ ἰδὼν γράμματα προτεθειμένα τῶν βασιλικῶν διατάξεων καὶ ταῦτα ἀναγινώσκων, συνελήφθη καὶ παρὰ τοῦ βασιλέως ἐρωτηθεὶς ποίας δόξης ἐστίν, ὡμολόγησεν ἑαυτὸν εἶναι χριστιανόν. Ὅθεν ξέεται καὶ δι' εὐχῆς τὸ εἴδωλον τοῦ Ἄρεως πεσεῖν καὶ συντριβῆναι ποιήσας εἰς τὴν ὁμοίαν παρρησίαν τὴν ἀδελφὴν ἐπεσπάσατο Εὐλαμπίαν· διὸ δεσμεῖται μετ' αὐτῆς..... οἳ καὶ τὰς κεφαλὰς ἀπετμήθησαν.

Crypt. Δ.α. XXVIII	=	Cs,	ff. 10-11v
Crypt. Δ.α. XXXII	=	Ct,	ff. 6v-7v
Vat. gr. 2	=	V,	ff. 28-29v
Barber gr. 535	=	B,	ff. 120v-122v
Mess. gr. 52	=	M,	ff. 25v-26
Paris. Suppl. gr. 32	=	Sa,	ff. 40-40v
Paris. Suppl. gr. 33	=	S,	ff. 46v-47v
Sabait. gr. 10	=	Jh,	ff. 52v-53
Sinait. gr. 555	=	Σσ,	ff. 83v-85
Sinait. gr. 556	=	Συ,	ff. 177v-179v
Sinait. gr. 562	=	Σφ,	ff. 50-51v

Κανὼν τῶν ἁγίων φέρων ἀκροστιχίδα τήνδε·
Τὴν αὐτάδελφον αἰνέσω ξυνωρίδα.

Ἦχος δʹ.

ᾠδὴ αʹ. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

Τῷ πόθῳ τῷ τοῦ Χριστοῦ φλεγόμενος,
μάρτυς Εὐλάμπιε,
τὴν κοσμικὴν ἀπέρριψας ἀχλύν,

tit. post acr. in margine Θεοφάνους legitur in Συ Σφ
heirm. αʹ EE 94, n. 133, Joannis

οὐρανίῳ δέ, πάνσοφε,
5 τερπνῶς προσεπλησίασας
φωτὶ ἀΰλῳ, παμμακάριστε.

Ἡ σχέσις ἡ πρὸς θεόν σου, πάνσοφε
μάρτυς Εὐλάμπιε,
τὴν τῶν βασάνων ἔτρεψε φοράν,
10 ἐγκρατείας ἡ στάσις δὲ
τὰς τῶν δαιμόνων ἔφλεξε
φάλαγγας ὄντως, παναοίδιμε.

Νευρώσας τῇ θεολόγῳ γλώσσῃ σου
στρατόν, προσήγαγες
15 αἰχμαλωσίαν θείαν τῷ Χριστῷ
πολυπλάσιον θήραμα,
μαρτυρικὸν δεχόμενον
στέφος ἀκήρατον, πολύαθλε.

θεοτ. Ἀφ' ὕψους ἐν τῇ γαστρί σου, πάναγνε,
20 ἐπιδημήσας θεός,
σὰρξ γεγονώς, προῆλθεν ἐμφανῶς
τοὺς πεσόντας ὑψῶν πρὸς αὐτόν,
υἱοθετῶν τῇ χάριτι
βροτούς, πανύμνητε παρθένε ἁγνή.

ᾠδὴ γʹ. *Εὐφραίνεται ἐπὶ σοὶ*

25 Ὑψῶσαι ὁ δυσμενὴς
τὸ τῆς ἀπάτης δολερὸν ἔγγραφον
ψυχοβλαβῶς ᾤετο,
ἀλλ' αὐτὸν εἰς χάος κατέρραξας.

4 οὐρανίων Ct 5 τερπνῶς] θερμῶς B καὶ γὰρ τερπνῶς προσέπλησας Sa 6 παμμακάριστε] πανσεβάσμιε M 9 ἔστρευψαν Ct ἔτερψεν V ἔρηψεν M ἔστεψεν S ἔτρεψας Σσ 10 ἐγκρατείας ἡ σύστασις B Συ ἀγερατείας Cs 11 τὰς] τὰ B 12 παναοίδιμε] πολυΰμνητε Ct B M 13 Νεκρῶσας V S 14 προσήγεσθε Ct 16 πολυούσιον V B M Συ 17 διεχούμενον Cs 18 πολύαθλε] πανόλβιε B Sa 19 Ἐφ' ὕψους S 22 ὑψῶν] ὑλὴν Sa 23 τῇ] ἐν M
heirm. γʹ EE 94, n. 133, Joannis 25 Ὑψώσας V B Sa Jh Σσ Συ 27 ψυχοβλαβοὺς M 28 ἀλλὰ τὸν Cs

13-18 Act. SS. Oct. V 76, § 15: « Καὶ δὴ πολλοὶ τῶν παρεστώτων ἰδόντες τὴν παρθένον οὕτω γενναίως διαλεγομένην, ἐπίστευσαν εἰς θεόν, ὁμοφώνως λέγοντες· Μέγας ὁ θεὸς τῶν Χριστιανῶν, καὶ ἡμεῖς Χριστιανοί ἐσμεν, καὶ ἕτοιμοι πρὸς τὸ τιμωρεῖσθαι...

θεοτ. 130 Ὡς μόνη τεκοῦσα τὸν θεόν,
μῆτερ ἀνύμφευτε,
ἀσπόρῳ τόκῳ, σεμνή,
τοῦτον ἱλέωσαι, δέσποινα,
διασῴζεσθαι τὴν ποίμνην σου
135 ἐξ ἐπηρείας δυσμενῶν,
ἀναβοῶσα Χριστῷ·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

ᾠδὴ θ'. *Λίθος ἀχειρότμητος ὄρους*

Ῥοῇ τῶν αἱμάτων τὴν πλάνην
140 τὴν τῶν εἰδώλων, ἀθλοφόροι
μάρτυρες, ἐλύσατε, ὑμῶν
τῆς μαρτυρίας ἀπολαβόντες μισθὸν
τὴν οὐρανῶν κατοίκησιν
καὶ διαμένουσαν ἀπόλαυσιν.

145 Ἰδού, ἀντὶ σκότους δεσμῶν τε,
f. 11v || πυρός, μαστίγων, ἀθλοφόροι,
φῶς ἀειλαμπέστατον ὑμῖν,
εὐρυχωρίαι ἀναψυχή τε τερπνή,
λυσιτελὴς κεχάρισται,
150 μάρτυρες ἔνδοξοι, πανόλβιοι.

Δρόμον τελειώσαντες θεῖον
ὑμῶν τῆς θείας μαρτυρίας,
τόποις ἐνηυλίσθητε θεοῦ,

130 Ὡς] Ἡ S, μόνην B, θεόν] Χριστὸν S 135 ἐξεπειρίας V ἐξεπυρίας B ἐξαπορείας S 136 ἀναβοῶσαν Cs
heirm. θ' EE 94, n. 133, Joannis 141 ἐκλύσατε Ct M, ὑμῶν] ὁμοῦ S 142 ἀπολαβόντες] ἀπολαύνοντες Cs 144 ἀπόλαυσιν] ἀνάπαυσιν Ct B M Συ 147 ἡμῖν Cs ἡμὴν S ὑμῶν B 148 εὐρυχωρείαν S, ἀναψυχήν τε τερπνὴν V ἀναψυτερπνῆ B 151-156 hoc alio tropario substituit Ct: Δυὰς φωταυγής, σεβασμία, / ἡ ξυνωρὶς τῶν ἀθλοφόρων, / ὕψωσον φωνήν σου πρὸς θεὸν / ἐν ἱκεσίαις ἱλεουμένη αὐτὸν / τοῖς ὑπευθύνοις ἄφεσιν / τῶν ἐμπταισμένων νῦν δωρήσασθαι. 153 ἐνκοιλάσθητε θεῷ B

151 cf. II Tim. 4,7

δικαίων δήμοις, χοροῖς ἀγγέλων τε
155 καὶ τῶν δικαίων τάγμασιν,
ὦ παναοίδιμοι λαμπρότατοι.

θεοτ. Αἱ τῶν προφητῶν νῦν προρρήσεις
τέλος ἐδέξαντο, παρθένε
κόρη, σαρκοφόρον τὸν θεὸν
160 ἡμῖν τεκούσης σου, πανσεβάσμιε,
διὸ τὸ « χαῖρε », δέσποινα,
σὺν τῷ ἀγγέλῳ σοι κραυγάζομεν.

154 δικαίων] μαρτύρων V B M S Jh Συ 157 Αἱ] Οἱ B Ἡ S 159 κόρην B κόρης M 160 τεκοῦσα B

157 Is. I, 3, 7,14 Mich. 5,2 161-162 Luc. 1,28

11 OCT.

CANON XI

IN SANCTAM ZENAIDEM

Synax. ad can. XII

Crypt. Δ.α. II = Cr, ff. 32v-35
Vat. gr. 2 = V, ff. 30-31
Vat. gr. 2069 = Vb, ff. 35-36
Sabait. gr. 41 = Jd, ff. 73v-74v
Sinait. gr. 580 = Σψ, ff. 131v-133

Ὁ κανὼν τῆς ἁγίας Ζηναΐδος.

Ἦχος βαρύς.

f. 33 || ᾠδὴ α΄. *Τῷ συνεργήσαντι θεῷ*

Μνήμην τελοῦντες εὐσεβῶς
τῆς σοφῆς θεραπαίνης
τοῦ βασιλέως Χριστοῦ,
αὐτὸν ἀνυμνήσωμεν,
5 τὸν ταύτην στεφανώσαντα.

Ὡς ἰατρεῖον θεϊκὸν
τὸν ναὸν τῆς ὁσίας
ὕμνοις προφθάσωμεν,
τὴν ῥῶσιν τῆς χάριτος
10 ἐντεῦθεν κομιζόμενοι.

Ὡραϊσθεῖσα εὐπρεπῶς
εὐσεβείᾳ καὶ πόνοις

---

tit. in margine Γερμανοῦ legitur in Cr, Εἰς τὸ μεσονυκτικὸν κανὼν τῆς ἁγίας Ζηναΐδος· ποίημα Γερμανοῦ Vb
heirm. α΄ EE 202, n. 287, Germani 1 εὐσεβῶς] οἱ πιστοὶ Jd Σψ
6-10 troparium om. V 9 τὴν] καὶ Vb 11 Ὡραιωθεῖσα Jd Σψ

τοῖς τῆς ἀσκήσεως,
τῷ κάλλει τῆς πίστεως
15 ἡ ὁσία ἐξέλαμψεν.

θεοτ. * Ἡ διὰ λόγου ἐν σαρκὶ
ὑπὲρ λόγον τεκοῦσα
τὸν ἀρχηγὸν τῆς ζωῆς,
Χριστὸν τὸν θεὸν ἡμῶν,
20 ἱκέτευε σωθῆναι ἡμᾶς.

ᾠδὴ β΄. *Πρόσεχε, οὐρανέ, καὶ λαλήσω*

Ἐδέξατο ἡ ὁσία σταγόνα
θείου χαρίσματος
καὶ ποταμοὺς ἰαμάτων
ἐνθέως ἀνέβλυσεν.

25 Ὡς σπήλαιον θεοδόχον εἰργάσω
τὴν σὴν διάνοιαν,
τοῦ Χριστοῦ γενομένη,
σεμνή, ἐνδιαίτημα.

Ποθήσασα τὸν τῆς δικαιοσύνης
30 ἥλιον, ἔνδοξε,
παρ' αὐτοῦ τὰς ἀκτῖνας
ἐδέξω τοῦ πνεύματος.

---

13 τοῖς om. V post v. 15 troparium inserit V:
Τὴν θεράπαιναν τοῦ Χριστοῦ,
ὡς πηγάζουσαν πᾶσι
τοῖς ἀσθενοῦσι λαοῖς
ἰάσεων νάματα,
συμφώνως εὐφημήσωμεν.
16-20 θεοτ. ed. NS 28 (1933), 335 16 διὰ λόγου] δι' ἀγγέλου V 19 ἀπαύστως ἱκέτευε V Jd Σψ 20 σωθῆναι τὰς ψυχὰς ἡμῶν V Jd Σψ
heirm. β΄ EE 203, n. 289, Germani odem β΄ omittunt V Jd Σψ

φωτεινὸν εἰσῆξεν ἑαυτοῦ
150 ἀπαύστως κραυγάζουσαν αὐτῷ·
« εὐλογητὸς εἶ ὁ θεός, ὁ τῶν πατέρων ἡμῶν ».

Ἀποσβέσασαι τὴν κάμινον, ἀοίδιμοι,
ὅλην τῶν σαρκικῶν ἡδονῶν,
ἐχωρήσατε
155 εἰς λιμένα θεῖον ἀρετῶν·
διὸ πρὸς τὸ ὕδωρ τῆς ζωῆς
ὁμολογίᾳ ἀληθεῖ κατεσκηνώσατε.

θεοτ. Ἱλαστήριόν σε ἔχοντες, πανάχραντε,
πάντες καὶ καταφύγιον
160 καὶ βοήθειαν
καὶ στερρὸν ὀχύρωμα πιστοί,
προστρέχομεν, δέσποινα, τῇ σῇ
φιλανθρωπίᾳ οἱ τὴν χάριν σου πλουτήσαντες.

ᾠδὴ η΄. *Ἐκ φλογὸς τοῖς ὁσίοις*

Συναφθεῖσα ἁγνείᾳ
165 καὶ καθαρότητι
τῶν ἀγγέλων χορείαις,
ἀπηλλοτρίωσαι
πάντων τῶν ἐν γῇ,
σεμνή· διὸ ἀσώματον
170 ἐν τοῖς ἐπικήροις
τὸν βίον ἐπεδείξω.

Ἀπεξήρανας πλάνην
ὑλομανήσασαν
καὶ πυρὶ τῶν σῶν λόγων

158-163 hoc aliud θεοτ. in Συ:
Ἀπειρόγαμε Μαρία θεονύμφευτε,
ἱκέτευε τὸν κύριον,
160 ὃν ἐκύησας,
τοῦ σωθῆναι πάντας τοὺς πιστούς,
τοὺς πόθῳ νῦν μέλποντας αὐτῷ·
« εὐλογητὸς εἶ ὁ θεός, ὁ τῶν πατέρων ἡμῶν ».
heirm. η΄ EE 159, n. 224 Joannis

175 ταύτην κατέφλεξας
καὶ τὸν νοητόν,
σεμνή, σπόρον ἐνηύξησας
ἐν ταῖς διανοίαις
ἡμῶν τῶν σὲ ὑμνούντων.

180 Ῥωμαλέᾳ τῇ γνώμῃ
τὸν τῆς ἀσκήσεως
διανύσασαι δρόμον,
πρὸς τὸ ποθούμενον
τέλος τῆς ὑμῶν
185 μαρτυρίας ἐφθάσατε,
τὸν ἀγαθοδότην,
σεμναί, δοξολογοῦσαι.

θεοτ. Ὁ καρπὸς τῆς κοιλίας
τῆς σῆς, πανύμνητε,
190 τὴν τοῦ ξύλου κατάραν
ὑλομανήσασαν
πρόρριζον ἐξήρανε
καὶ ἀνεβλάστησε
τὴν τῆς εὐφροσύνης,
195 παρθένε, εὐλογίαν.

ᾠδὴ θ΄. *Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον*

Κοσμεῖν τὴν ἔνδον ψυχῆς εὐπρέπειαν
τῶν ἀρετῶν
f. 17v || τῷ κάλλει τῷ ἐνθέῳ ποθήσασα,

---

183 παθόμενον Cs 186 ἀγωνοθέτην Συ 188-195 hoc aliud θεοτ. in Συ:
Ὁ υἱός σου, παρθένε,
ὁ ὑπερούσιος
190 ἐλεήσας τὴν φύσιν
ἡμῶν τὴν πταίσασαν
σοῦ ὑπερφυῶς
ἐξ αἱμάτων σεσάρκωται
σῴζων τοὺς φθαρέντας
195 ἐν παραδείσῳ πάλαι.
192 πρόρριζεν Cs
heirm. θ΄ EE 159, n. 224, Joannis

---

188 Luc. 1,42 190 Gen. 3,6-8

ᾠδὴ ζʹ. *Ὁ τῶν πατέρων*
θεὸς ὑπάρχων,
εὐλογητὸς εἶ - εἰς τοὺς αἰῶνας.

Τὴν τῆς ὁσίας
εὐσεβῶς μνήμην
130 ἐπιτελοῦντες
Χριστὸν ὑμνοῦμεν.

Τῆς ἐγκρατείας
ἄγαλμα θεῖον
ἐδείχθη πᾶσιν
135 ἡ θεοφόρος.

Ὁ τὴν ὁσίαν
τοῖς παρθενικοῖς
κοσμήσας δώροις,
εὐλογητὸς εἶ.

θεοτ. 140 Παρθένε μήτηρ
θεοῦ τοῦ λόγου,
αὐτὸν δυσώπει
ὑπὲρ τοῦ κόσμου.

ᾠδὴ ηʹ. *Τὸν μόνον ἄναρχον*

Τὸν ἀναδείξαντα
145 τὴν σοφὴν Ζηναΐδα

---

heirm. ζʹ Pent. τμθʹ 2 heirm. καὶ ἡμῶν θεὸς V et cfr. EE 203, n. 287, Germani 133 θεῖον] σαφῶς V Jd Σψ 134 ἐδείχθης Jd Σψ 135 μῆτερ ὁσία Jd 137 πνευματικοῖς V 139 εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Vb post 139 v. inserit Σψ:

Πεποικιλμένη
κροσσωτοῖς χρυσοῖς
τῶν ἀρετῶν σου,
σεμνή, ἐδείχθης·
εὐλογητὸς ὁ θεὸς ὁ τῶν πατέρων.

heirm. ηʹ EE 204, n. 289, Germani

τῶν θεοσδότων θησαυρῶν χαρισμάτων
πλουτίζουσαν
τοῖς ἰάμασι πάντας,
« ὑμνεῖτε ἱερεῖς,
150 λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Λαμπὰς ὑπέρφωτος
ἀρετῶν δᾳδουχίαις
ἡ θεοφόρος Ζηναῒς ἀνεδείχθη
155 φωτίζουσα
τοὺς ἐν σκότει βοῶντας·
« ὑμνεῖτε ἱερεῖς,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

160 Τὸν καταπέμψαντα
τῇ ὁσίᾳ τὴν χάριν
τοῦ θεραπεύειν τῶν ἀνθρώπων τὰς νόσους,
Χριστὸν τὸν θεὸν
καὶ σωτῆρα τοῦ κόσμου
165 ὑμνεῖτε ἱερεῖς,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

θεοτ. * Τὸν πλαστουργήσαντα
τὸν Ἀδὰμ κατ' εἰκόνα
170 καὶ ἐκ φυράματος αὐτοῦ προελθόντα
καὶ σώσαντα
τῶν ἀνθρώπων τὸ γένος
ὑμνεῖτε ἱερεῖς,
λαὸς ὑπερυψοῦτε
175 εἰς πάντας τοὺς αἰῶνας.

---

147 πλουτίζοντα Cr Vb Jd Σψ 152-159 om. V 156 σκότει] πίστει Jd Σψ 160-167 om. V Σψ 168-175 θεοτ. TR, 400

168-170 Gen. 2,7

καὶ ἐν ταύταις ἀμέμπτως
ἐν σώματι βιοῦσα,
τὴν ἄφθαρτον ζωὴν
ἐκληρώσω, πάνσοφε.

85 Καθοπλισθεῖσα ἐν πίστει,
ἐλπίδι καὶ ἀγάπῃ,
τυραννίδα καθεῖλες
παθῶν, σεμνὴ ὁσία,
καὶ σκεῦος ἐκλογῆς
90 γέγονας Χριστοῦ τοῦ θεοῦ.

Ἡ παρὰ σοῦ τῇ ὁσίᾳ,
Χριστέ, δοθεῖσα χάρις
θεῖον ἴαμα πᾶσι
τοῖς σοῖς ὑπάρχει δούλοις,
95 δι' ἧς τῶν ἀσεβῶν
πέπτωκε τὸ φρύαγμα.

θεοτ. * Παναγία παρθένε,
ἡ κεχαριτωμένη,
ἡ τεκοῦσα ἐν χρόνῳ
100 τὸν λόγον ὑπὲρ λόγον,
δυσώπησον αὐτὸν
σῶσαι τὰς ψυχὰς ἡμῶν.

ᾠδὴ ς'. *Ὁ Ἰωνᾶς ἐκ κοιλίας ᾅδου ἐβόα*

Τὸν κλύδωνα ἐκφυγοῦσα τῆς πλάνης,
πανένδοξε, ἰαμάτων γαλήνην

85-90 troparium om. V Jd 85 Θωρακισαμένη πίστιν Σψ 86 ἐλπίδα καὶ ἀγάπην Σψ 97-102 θεοτ. ed. MR III, 88 99 ἐν χρόνῳ] ἀφράστως V

heirm. ς' EE 204, n. 289, Germani

105 ταῖς τοῦ πνεύματος αὔραις
ὡς λιμὴν τῶν ἀρετῶν
προεκχέεις πιστῶς.

Κατάκαρπος ἀνεδείχθης ἐλαία
ἡ ἄμωμος ἐν τῷ οἴκῳ κυρίου,
110 ἰαμάτων ἐλαίῳ
τὰς ψυχὰς τῶν εὐσεβῶν
ἱλαρύνουσα.

Τοὺς σέβοντας εὐσεβῶς σου τὴν μνήμην
ἀξίωσον, Ζηναῒς μακαρία,
115 ταῖς εὐχαῖς σου γενέσθαι
συμμετόχους τῆς ἐν σοὶ
θείας χάριτος.

Εἰρήνευσον ὡς θεὸς ἐλεήμων,
σωτὴρ ἡμῶν, πᾶσαν τὴν οἰκουμένην
120 ταῖς εὐχαῖς Ζηναΐδος
καὶ ἀξίωσον ἡμᾶς
τῆς βασιλείας σου.

f. 34v θεοτ. * || Ὃν ἔτεκες, θεοτόκε, ἀνερμηνεύτως
θεὸν ἡμῶν δυσωποῦσα μὴ παύσῃ,
125 ῥυσθῆναι ἐκ κινδύνων·
τοὺς ὑμνοῦντάς σε, ἁγνὴ
ἀειπάρθενε.

---

107 παρέχεις πᾶσιν ἡμῖν Jd Σψ post v. 107 troparium inserit Jd:

Τὸν τοῦ Χριστοῦ
συνδειπνήσασα θεῖον δεῖπνον,
ἐτέλεσας τὸν ἐπίγειον δρόμον
ἑαυτὴν ὥσπερ θῦμα
τῷ δεσπότῃ καὶ θεῷ
προσενέγκασα.

110 ἐλαίῳ ἰαμάτων V 112 ἱλαρύνοντα V 113-117 om. Jd Σψ 118-122 om. Jd Σψ 123-127 θεοτ. ed. MR III, 89 125 κινδύνων λυτρωθῆναι MR

---

108 Ps. 51,8 (10)

f. 35 || ᾠδὴ θ'. *Τὴν ὑπὲρ φύσιν μητέρα*

Ἀνατεμοῦσα προρρίζους
τῶν ἡδονῶν τὰς ἀκάνθας
τῷ σπόρῳ τῷ μυστικῷ τοῦ θείου λόγου,
τὸν στάχυν τῶν ἀρετῶν
180 ἀνεβλάστησας, πανένδοξε.

Τῶν ἀρετῶν τῷ κατόπτρῳ
τῆς πολιτείας τὸ κάλλος
ἐσχημάτισας σαφῶς, ἠγλαϊσμένη·
διό σε ὁ βασιλεὺς
185 ἠρετίσατο Χριστὸς ὁ θεός.

Τῶν ἀρετῶν διαβᾶσα
ὅλην τὴν κλίμακα πίστει
καὶ ἐπιβᾶσα, σεμνή, τῷ θείῳ ὕψει,
ἐν χώρᾳ ζώντων τὴν σὴν
190 ἐκληρώσω κατασκήνωσιν.

θεοτ. * Ἡ ἐν γαστρὶ συλλαβοῦσα
τὸν ἀπερίληπτον λόγον
καὶ τοῦτον ἄνευ σπορᾶς σαρκὶ τεκοῦσα
ἱκέτευε ἐκτενῶς
195 τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

---

heirm. θ' EE 203, n. 287, Germani 178 τῶν μυστικῶν τῶν θείων λόγων V 181 Τῶν ἐντελῶν μὲν τὸ κράτος Jd Σψ 183 ἐσχηματίσω σαφῶς ἡγιασμένη Jd Σψ 191-195 θεοτ. ed. TR, 438 192 ἀπερίληπτον] ἀπερίγραπτον V 194 ἱκέτευε] δυσώπησον V

IN SANCTAS ZENAIDEM ET PHILONILLAM

Synaxarium, 129-130: .....τῆς ἁγίας Ζηναΐδος καὶ Φιλωνίλλης τῆς ἀδελφῆς αὐτῆς. Αὗται ὑπῆρχον ἐκ Τάρσου τῆς Κιλικίας ἀπὸ χωρίου Δημητριάδος, συγγενεῖς τοῦ ἁγίου ἀποστόλου Παύλου. Καὶ ἡ μὲν ἁγία Ζηναῒς τὴν ἰατρικὴν ἐν τῷ δοκεῖν μετερχομένη τέχνην, τῇ ἀληθείᾳ ἀποστολικὸν ἔργον ἐπλήρου. Καταλιποῦσα γὰρ τὰ ὑπάρχοντα αὐτῇ πάντα καὶ τὴν ἀδελφὴν καὶ ἀπελθοῦσα ἐν ὄρει τινί..... ἡσύχασε καὶ τοὺς προσιόντας ἐν καιρῷ πρὸς αὐτὴν ἐδίδασκε τὸν λόγον τῆς ἀληθείας, πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν θεραπεύουσα..... ἥτις ὕστερον ..... παρέδωκε τὸ πνεῦμα. Ἡ δὲ ἀδελφὴ αὐτῆς Φιλωνίλλα κατέμενεν ἐν τῷ οἴκῳ αὐτῆς καὶ κατὰ μηδὲν ἀπολειφθεῖσα τῆς ἀδελφῆς αὐτῆς εἰς ἀρετήν..... ἐδέξατο θαυμάτων χαρίσματα, καὶ τῷ θεῷ εὐαρεστήσασα ἐν εἰρήνῃ ἐτελειώθη.

Crypt. Δ.α. XXVIII = Cs, ff. 15v-17v
Sinait. gr. 555 = Σσ, ff. 85v-87v
Sinait. gr. 556 = Συ, ff. 183v-186v

Κανὼν τῆς ἁγίας φέρων ἀκροστιχίδα τήνδε·
Ἡ Ζηναῒς ζῇ καὶ θανοῦσα σαρκίῳ. Γεωργίου.

Ἦχος πλ. β'.

ᾠδὴ α'. *Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ*

Ἡ τῶν ἀφθόνων χαρίτων πλουτοποιὸς
τοῦ δεσπότου πρόνοια
σὲ ταμεῖον νοητὸν
τῶν θαυμάτων ἔδειξε, σεμνή,
5 ἰαμάτων δωρεὰς
πιστῶς παρέχουσαν.

---

tit. post acr. Νικολάου legitur in Συ
heirm. α' EE 159, n. 224, Joannis

Ζῶντα παράδεισον, μάρτυς, καὶ νοητῶν
ἀγαθῶν λειμῶνά σε
ἐπιγνόντες, Ζηναΐς,
10 τοὺς καρποὺς δρεπόμεθα ἐκ σοῦ
τῶν χαρίτων καὶ τροφῆς
θείας πληρούμεθα.

Ἡ ἀδιαίρετος γνώμη πρὸς νοητὴν
τοῦ Χριστοῦ συνάφειαν
15 δι' ἐνθέων ἀρετῶν
εὐκλεῶς συνήρμοσεν ὑμᾶς,
καλλιπάρθενοι σεμναί·
διὸ γεραίρεσθε.

θεοτ. Γῆ ἡ προμήτωρ τὸν βότρυν καρπὸν ἡμῖν
20 ἀκανθῶν ἐβλάστησε,
θεοτόκε, τῆς ἀρᾶς,
τὸ φυτὸν δέ, πάναγνε,
ἐκ σοῦ προελθὸν τὸ τῆς ζωῆς
ἀνθοφορεῖ τὴν χάριν.

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος ὡς σὺ*

25 Νέφη παρέδραμες παθῶν
καὶ τῷ τῆς ἀπαθείας
ἐπλησίασας φέγγει

---

11 τρυφῆς Σσ Συ   13 νοητὴν Σσ   σεπτὴν Cs Συ contra metrum   19-24 hoc aliud θεοτ. in Συ   22-24 non leguntur in Cs   22 τῶν φωτῶν Cs Σσ

Νικητικαῖς εὐφημίαις
σὲ τὴν ἁγνήν,
μακαρίζω, ἄχραντε,
25 ὡς τεκοῦσαν τὸν Χριστὸν
ἐν τῇ σῇ γαστρὶ ὑπερφυῶς
τὸν φωτίσαντα τὸν κόσμον
τῷ ἐλέει αὐτοῦ.

heirm. γ' EE 159, n. 224, Joannis
26-28 parum legimus in Cs foedata pagella

---

19 Gen. 3,3-16

δι' αἴγλης τῶν ἀρετῶν
καὶ τοῦ ἀδύτου φωτὸς
30 τῆς παστάδος,
Ζηναΐς, ἐπέτυχες.

f. 16 ‖ Ἀποκαθάρασα ψυχὴν
ὑλικῆς προσπαθείας,
οἰκητήριον ταύτην
35 ἐποίησας ἀρετῶν·
διὸ Χριστὸς νοητῶς,
ἀθλοφόρε,
ἐν αὐτῇ κατῴκησεν.

Ἰλὺν τοῦ σώματος ὑμῶν
40 ὑπεκδύσαντες πόνοις,
τῇ συντόνῳ ἀσκήσει
προσήχθητε τῷ Χριστῷ
δι' ἄθλων μαρτυρικῶν,
ἀθλοφόροι,
45 θύματα ὁλόκληρα.

θεοτ. Ἐν σοὶ πεπλήρωνται, ἁγνὴ
θεοτόκε παρθένε,
ὧν προώρισε πάλαι
πρὸ πάντων τῶν γενεῶν
50 ὁ κτίστης καὶ ποιητής,
τῆς ἀρρήτου
πίστεως τὰ σύμβολα.

---

40 ὑπεκδύσαι τοῖς Cs   46-52 hoc aliud θεοτ. in Συ

Ἰάσω σύ, ὡς ἀληθῶς
πάναγνε θεομῆτορ,
τῶν ἀνθρώπων τὴν φύσιν
θεὸν τεκοῦσα σαρκὶ
ἐν σοὶ σκηνώσαντα νῦν
ὑπὲρ λόγον
ὄντως καὶ διάνοιαν.

30-31 Cant.   48-49 Act 4,28.

102 Θαλάμου κάλλεσι νοητοῖς
τοῦ ἐπουρανίου θελχθεῖσαι
αἱ καλλιπάρθενοι ᾤκησαν,
105 τοῦ ὑπερωραίου
νυμφίου χαίρουσαι
δι' ἀρετῆς ὀπίσω
καὶ καθαρότητος.

θεοτ. Ῥητόρων γλῶσσα ἐξασθενεῖ
110 σὲ ἐγκωμιάζειν, παρθένε,
τοῖς κατ' ἀξίαν ἐπαίνοις σου,
ἀλλά, συμμετροῦσα
τὸν πόθον, δέσποινα,
πρὸς τοῦτόν σου τὴν χάριν
115 παρεῖχες, πάναγνε.

ᾠδὴ ϛ'. *Τοῦ βίου τὴν θάλασσαν*

Ἀπέπνιξας, ἔνδοξε,
τῇ πλοκῇ τῶν ἀρετῶν
ὡς βρόχῳ τὸν πολέμιον
καὶ τὴν αὐτοῦ ἀπέτεμες κεφαλὴν
120 τῆς ὁμολογίας σου
τομωτέρᾳ μαχαίρᾳ ἀριστεύουσα.

Νάμασι κατήρδευσας
διδαγμάτων τὰς ψυχὰς
τῶν εὐσεβῶν, ἀοίδιμε,

---

104 ᾤκησαν] εἵλκυσαν Σσ Συ 109-115 hoc aliud θεοτ. in Συ:
Ὁ κύριός τε καὶ πλαστουργὸς
110 πάντων καὶ δεσπότης, παρθένε,
ἐκ σῶν αἱμάτων σεσάρκωται,
ὃν καὶ νῦν δυσώπει
σωθῆναι πάντας ἡμᾶς
τούς σοι προσπεφευγότας,
115 θεοχαρίτωτε.
heirm. ϛ' EE 159, n. 224, Joannis 121 μαχαίρας Σσ

102-109 cf. Method., Sympos. XI

125 καὶ διὰ τοῦτο ἄφθορον ὁ Χριστὸς
πηγήν σε ἀνέδειξε
τῶν θαυμάτων ἐν κόσμῳ καὶ ἰάσεων.

Ὁ πόθος οὐκ ἔλυσε
τῶν προσκαίρων καὶ φθαρτῶν
130 ἀδελφικὴν συνάφειαν,
ἀλλ' ἡ ἀγάπη ἥνωσε τοῦ Χριστοῦ
ταύτην εἰς ὁμόψυχον
ἀρετήν τε καὶ πίστιν ἀδιαίρετον.

θεοτ. Γνῶσιν τὴν τοῦ πνεύματος,
135 θεοτόκε, διὰ σοῦ
κατεπλουτίσθη ἅπασα
τῶν γηγενῶν ἡ φύσις καὶ διὰ σοῦ
τῆς ἄνωθεν χάριτος
ἐμυήθη τὰ ξένα θεοῦ μυστήρια.

ᾠδὴ ζ'. *Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο*

140 Ὑποτάξασα τὸ φρόνημα τὸ τύραννον,
ἔνδοξε, τῆς σαρκώδους ζωῆς
δι' ἀσκήσεως,
τῷ νοῒ ἐκράτησας παθῶν·
διὸ βασιλεύσασα αὐτῶν
f. 17 145 ἐν ἀπα‖θείᾳ τὸν Χριστὸν ἐδοξολόγησας.

Στολισθεῖσάν σε ταῖς ἀρεταῖς ἐλάμπρυνε
θαύμασιν ὁ νυμφίος Χριστὸς
καὶ εἰς θάλαμον

---

130 συμπάθειαν Σσ 134-139 aliud θεοτ. in Συ:
Λύτρον σε νῦν ἔχοντες
καταφεύγομεν, ἁγνή,
οἱ ὑπὸ σοῦ σκεπόμενοι
πρός σέ, παρθένε, μήτηρ τοῦ ποιητοῦ
πάντων καὶ θεοῦ ἡμῶν
καὶ τῇ σῇ μεσιτείᾳ διαλλαττόμεθα.
heirm. ζ' EE 159, n. 224, Joannis 141 σαρκὸς τῆς ζωῆς Σσ

146-149 cf. Method., Sympos. XI

ᾠδὴ δ'. *Χριστός μου δύναμις*

Σοφίας κρείττονος
τοῦ θείου πνεύματος
55 πληρουμένη ἡ μάρτυς,
ἀπατηλὰ
εἴδωλα διήλεγξεν
ἐν τῇ ἀπάστῳ συμπλοκῇ
τῶν ἐνθέων διδαγμάτων σου.

60 Ζωὴν ποθήσασα
τὴν ὑπερκόσμιον,
τῆς ζωῆς ἀπερράγης
τῆς σαρκικῆς
καὶ δι' ἀπαθείας, σεμνή,
65 τοῖς ἀσωμάτοις συνήφθης
καὶ τελοῦσα ἐν τῷ σώματι.

Ἡ χάρις ἄνωθεν
τοῦ θείου πνεύματος
ἐν ψυχῇ πανολβίᾳ
70 τῇ σῇ, σεμνή,
νοητῶς ὀμβρήσασα,
σὲ ποταμὸν ἰαμάτων
καθυπέδειξε τοῖς πέρασιν.

Καθεῖλεν ἅπασαν
75 ἀντιπαράταξιν
τῶν παθῶν τῇ ἀσκήσει
καὶ κατ' αὐτῶν
τρόπαια ἐστήσατο
δι' ἀρρενότητος φρενῶν
80 ἐν κυρίῳ ἡ ἀοίδιμος.

---

heirm. δ' EE 159, n. 224, Joannis

θεοτ. Ὡραῖος ἔφυ μοι
ὁ τῆς παρθένου καρπός,
τῆς πικρίας τὴν γεῦσιν
τῆς ἐν Ἐδὲμ
85 τῇ θείᾳ μεθέξει αὐτοῦ
εἰς γλυκασμὸν εὐφροσύνης
καὶ ζωὴν μεταποιήσας Χριστός.

ᾠδὴ ε'. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

Ἀποτεμοῦσα τοῦ λογισμοῦ
τὰς ἐπιρροὰς τῶν ἡδέων
90 ὡς ἀκανθώδη βλαστήματα,
ηὔξησας τὸν σπόρον
τῆς ἀπαθείας, σεμνή,
f. 16v ἐξ ἧς καρποὺς προ||σῆξας
δεκτοὺς τῷ κτίστῃ σου.

95 Ἰσχὺς ἐκλέλυται τοῦ ἐχθροῦ
ἐν τῇ καρτερίᾳ σου, σεμνή,
καὶ σταθερᾷ γενναιότητι·
κράτος γὰρ θεόθεν
περιεβάλου, σεμνή,
100 δι' οὗ διπλοῦς πολέμους
στερρῶς ἐνίκησας.

81-87 aliud θεοτ. in Συ:
Κόρη κατάνυξιν
τῇ ταπεινῇ μου ψυχῇ
εὐθυμίας νῦν δίδου,
ὅπως κἀγώ,
85 ἄχραντε, σῳζόμενος
σῇ μεσιτείᾳ τῶν παθῶν
ἀνυμνήσω τὴν πρεσβείαν σου.
81 ἔφη Cs
heirm. ε' EE 159, n. 224, Joannis   100 διττοὺς Σσ

81-84 Gen. 3,6

φωτεινὸν εἰσῆξεν ἑαυτοῦ
150 ἀπαύστως κραυγάζουσαν αὐτῷ·
« εὐλογητὸς εἶ ὁ θεός, ὁ τῶν πατέρων ἡμῶν ».

Ἀποσβέσασαι τὴν κάμινον, ἀοίδιμοι,
ὅλην τῶν σαρκικῶν ἡδονῶν,
ἐχωρήσατε
155 εἰς λιμένα θεῖον ἀρετῶν·
διὸ πρὸς τὸ ὕδωρ τῆς ζωῆς
ὁμολογίᾳ ἀληθεῖ κατεσκηνώσατε.

θεοτ. Ἱλαστήριόν σε ἔχοντες, πανάχραντε,
πάντες καὶ καταφύγιον
160 καὶ βοήθειαν
καὶ στερρὸν ὀχύρωμα πιστοί,
προστρέχομεν, δέσποινα, τῇ σῇ
φιλανθρωπίᾳ οἱ τὴν χάριν σου πλουτήσαντες.

ᾠδὴ η'. *Ἐκ φλογὸς τοῖς ὁσίοις*

Συναφθεῖσα ἁγνείᾳ
165 καὶ καθαρότητι
τῶν ἀγγέλων χορείαις,
ἀπηλλοτρίωσαι
πάντων τῶν ἐν γῇ,
σεμνή· διὸ ἀσώματον
170 ἐν τοῖς ἐπικήροις
τὸν βίον ἐπεδείξω.

Ἀπεξήρανας πλάνην
ὑλομανήσασαν
καὶ πυρὶ τῶν σῶν λόγων

158-163 hoc aliud θεοτ. in Συ:
Ἀπειρόγαμε Μαρία θεονύμφευτε,
ἱκέτευε τὸν κύριον,
160 ὃν ἐκύησας,
τοῦ σωθῆναι πάντας τοὺς πιστούς,
τοὺς πόθῳ νῦν μέλποντας αὐτῷ·
« εὐλογητὸς εἶ ὁ θεός, ὁ τῶν πατέρων ἡμῶν ».
heirm. η' EE 159, n. 224 Joannis

175 ταύτην κατέφλεξας
καὶ τὸν νοητόν,
σεμνή, σπόρον ἐνηύξησας
ἐν ταῖς διανοίαις
ἡμῶν τῶν σὲ ὑμνούντων.

180 Ῥωμαλέᾳ τῇ γνώμῃ
τὸν τῆς ἀσκήσεως
διανύσασαι δρόμον,
πρὸς τὸ ποθούμενον
τέλος τῆς ὑμῶν
185 μαρτυρίας ἐφθάσατε,
τὸν ἀγαθοδότην,
σεμναί, δοξολογοῦσαι.

θεοτ. Ὁ καρπὸς τῆς κοιλίας
τῆς σῆς, πανύμνητε,
190 τὴν τοῦ ξύλου κατάραν
ὑλομανήσασαν
πρόρριζον ἐξήρανε
καὶ ἀνεβλάστησε
τὴν τῆς εὐφροσύνης,
195 παρθένε, εὐλογίαν.

ᾠδὴ θ'. *Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον*

Κοσμεῖν τὴν ἔνδον ψυχῆς εὐπρέπειαν
τῶν ἀρετῶν
f. 17v ‖ τῷ κάλλει τῷ ἐνθέῳ ποθήσασα,

---

183 παθόμενον Cs 186 ἀγωνοθέτην Συ 188-195 hoc aliud θεοτ. in Συ:
Ὁ υἱός σου, παρθένε,
ὁ ὑπερούσιος
190 ἐλεήσας τὴν φύσιν
ἡμῶν τὴν πταίσασαν
σοῦ ὑπερφυῶς
ἐξ αἱμάτων σεσάρκωται
σῴζων τοὺς φθαρέντας
195 ἐν παραδείσῳ πάλαι.
192 πρόρριζεν Cs
heirm. θ' EE 159, n. 224, Joannis

---

188 Luc. 1,42 190 Gen. 3,6-8

ἀσκήσει καὶ πόνοις ἐζωγράφησας
200 σεαυτὴν κατ' εἰκόνα
καὶ καθ' ὁμοίωσιν,
ἅπερ συντηροῦσα, Ζηναΐς,
ἔσχες ἀνόθευτα.

Ἰδεῖν ποθοῦσα τὸν ὑπὲρ αἴσθησιν
205 τῇ μυστικῇ
καὶ θείᾳ θεωρίᾳ διέστησας
πάντων ἑαυτὴν τῶν ἐν αἰσθήσει, σεμνή·
ὅθεν ταῖς τῶν ἀΰλων
τάξεσιν ἥνωσαι,
210 τὸν σὲ ἐνισχύσαντα Χριστὸν
ἀεὶ δοξάζουσα.

Ὠδῆς καὶ ἤχου ἐπαπολαύουσαι
τῶν ἐν φωναῖς
ἀγγέλων κροτουμένων, ἀοίδιμοι,
215 σύμφωνον ποιήσασθε τὴν ἔντευξιν
πρὸς τὸν πάντων δεσπότην
σὺν Ζηναΐδῃ τε
Φιλωνίλλᾳ ὑπὲρ τῶν πιστῶς
ἀνευφημούντων ὑμᾶς.

θεοτ. 220 Ὑμνεῖν τὸν τρόπον τὸν ὑπερθαύμαστον
τῆς ὑπὲρ νοῦν
καὶ ξένης σου κυήσεως, πάναγνε,
ἀπορεῖ ἀνθρώπων τὰ συστήματα·
πάντα γὰρ ὑπερέχεις
225 νοῦν καὶ διάνοιαν
καὶ νοήσεις πάσας λογισμῶν
καὶ τὴν τῶν λόγων ἰσχύν.

---

202 Ζηναΐς] σὺν αὐτοῖς Σσ 209 ἥνωσεν Σσ 220-227 hoc aliud θεοτ. in Συ:

220 Υἱὸν τεκοῦσα τὸν πανοικτίρμονα
λόγον θεοῦ,
ἁγνὴ θεοχαρίτωτε δέσποινα,
τῶν παθῶν μου τὸν ζόφον ἀπέλασον
καὶ τὸ τῆς ἀθυμίας
225 σκότος μετάβαλε,
ὅπως καταχρέως σὲ ὑμνῶ
τὴν πολυΰμνητον.

IN SANCTOS PROBUM, TARACHUM ET ANDRONICUM

Synaxarium, 131-132: Ἄθλησις τῶν ἁγίων μαρτύρων Πρόβου, Ταράχου καὶ Ἀνδρονίκου. Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως..... Διαφόροις δὲ βασάνοις κατὰ διαφόρους ἐξετάσεις δοκιμασθέντες καὶ πάσας στερρῶς ὑπομείναντες, ὧν οὐκ ἄν τις μίαν ἐνέγκοι, ἀλλὰ θᾶττον ἀπορραγήσεται τῆς ζωῆς, εἰ μὴ τῇ τοῦ Χριστοῦ πίστει κατωχυρωμένος καὶ τῷ ζήλῳ τῷ πρὸς αὐτὸν ἐπιρρώσας καὶ οἷον ἑαυτὸν παραθήξας, τὴν διὰ μαχαίρας δέχονται τελευτήν.

Vat. gr. 1850 = Ve, ff. 17-19
Vat. gr. 2270 = Vg, ff. 108-109ᵛ
Barb. gr. 535 = B, ff. 125ᵛ-128
Paris. gr. 13 = Ω, ff. 107ᵛ-108

Canon secundum traditionem Vat. gr. 1850 = Ve

Ὁ κανών.

Ἦχος α'.

ᾠδὴ α'. *Ὠδὴν ἐπινίκιον*

f. 17ᵛ ‖ Τριάδος ὑπέρμαχοι
τῆς παναγίας
στερροὶ ἀνεδείχθησαν
οἱ γενναῖοι μάρτυρες,
5 ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ
νικήσαντες τὰς μηχανὰς
τοῦ ἀρχεκάκου ἐχθροῦ.

Ἀτάραχος γέγονας
ἐν τῇ ἀθλήσει,
10 ἀοίδιμε Τάραχε,

---

heirm. α' EE 11, n. 15, Andreae 3 ἀνεδείχθητε Vg

άθλοφόροι, πίστει προτρέχουσιν
80 ἐν τῇ θείᾳ
καὶ παμφαεῖ σορῷ, παμμακάριστοι.

Νομίμως
ὑπὲρ Χριστοῦ ἀθλήσαντες, ἔνδοξοι,
κατεπλουτίσθητε στέφει
85 ἀκηράτῳ ὄντως, πανόλβιοι,
βασιλείαν
τῶν οὐρανῶν καὶ θείαν ἀνάπαυσιν.

θεοτ. Εὑρών σε
τῶν ἀκανθῶν ἐν μέσῳ, πανάμωμε,
90 ὡς καθαρώτατον κρίνον
καὶ κοιλάδων ἄνθος, ὦ θεομῆτορ,
ὁ νυμφίος
ἐν τῇ γαστρί σου σὰρξ ἐχρηματισεν.

f. 11 ‖ ᾠδὴ ζ'. *Ἐν τῇ καμίνῳ*

Σύνεσιν θείαν
95 πεπλουτισμένος, μάρτυς ἀοίδιμε,
πᾶσαν τιμωρίαν ὄντως τῶν δυσσεβῶν
ἐξεφαύλισας, Εὐλάμπιε,
« εὐλογημένος εἶ,
ὁ θεός μου — κραυγάζων — καὶ κύριος ».

100 Ὡδηγηθέντες
ἐν τῇ ἀγάπῃ ὄντως τοῦ κτίσαντος,
θείῳ συνεκράθητε αὐτῷ, ἀθληταί,

79 προσέχουσιν Σσ 83 ἔνδοξοι] ἅγιοι V 84 στέφη B M S 85 ἀκηράτων B 87 ἀνάπαυσιν] ἀπόλαυσιν B Sa Σφ 88 Εὑρῶντες M
heirm. ζ' EE 94, n. 133, Joannis 94 Συνέσει θεία Jh 95 πεπλουτισμένη S 99 ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν B ἐν τῷ ναῷ τῆς δόξης σου κύριε S 100 Ὡδηγηθέντες ut acr. postulat cf. can. VIII v. 214 - Ὡδηγήθητε Ct Ὡς τιμηθέντες B Συ Ὡς δεσμηθέντες M 102 θεῖος Cs, αὐτῷ] νῦν V πόθῳ M συνεκράθηται ὦ ἀθληταὶ B συνεκράθη ἔρος τοῖς ἀθληταῖς S

89-91 Cant. 2,1-3

ὡς σαρκί τε καὶ τῷ πνεύματι·
« εὐλογημένος εἶ
105 ἐν τῷ ναῷ τῆς δόξης σου, κύριε ».

θεοτ. Ξενοπρεπῶς σὺ
τὸν τοῦ πατρός, παρθένε, συνέλαβες
λόγον ἐν γαστρί σου, ἄχραντε, καὶ σαρκὶ
ἀπεκύησας τοῖς κράζουσιν·
110 « εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, κύριε ».

ᾠδὴ η'. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Ὑμᾶς οὐ κατίσχυσε, στερροί,
χωρίσαι, ἔνδοξοι,
ἡ τῶν βασάνων πληθύς,
115 οὐ πῦρ, οὐ μάστιγες, πάνσοφοι,
οὐ λεβήτων ὑπεκκαύματα,
οὔτε τοῦ ξίφους ἡ τομή,
ἀλλ' ἐνικήσατε
ἐκβοῶντες·
120 « πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

Νῦν ἀντὶ τῶν πόνων εὐχερῶς
ὑμῶν, Εὐλάμπιε,
τὴν βασιλείαν θεοῦ
κατεπλουτίσθητε, ἔνδοξοι
125 ἀθλοφόροι πανοίδιμοι,
σὺν Εὐλαμπίᾳ τῇ σεμνῇ
παρθενομάρτυρι,
ἐκβοῶντες·
« πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

103 τε om. B 107 πατρὸς] θεοῦ Σφ 109 κραυγάζουσιν M καὶ τῷ πνεύματι B
heirm. η' EE 94, n. 133, Joannis 113 χωρῆσαι Cs B 114 ἐκ τῆς ἀγάπης Χριστοῦ Ct 115 οὐ πυρὸς πληγές, μάρτυρες S 117 ἐκτομῇ S 119 ἐκβοῶντα B 121 εὐκλεῶς Ct Jh εὐκαίρως Cs Σφ εὐχαίρως B 127 ἐνευφροσύνῃ Ct

Τῷ πόθῳ τοῦ ἀδελφοῦ
30 πυρποληθεῖσα, τῷ Χριστῷ κάλλιστα,
κόρη, σαφῶς προσέδραμες,
μάρτυς Εὐλαμπία ἀοίδιμε.

θεοτ. Ἀσπόρως τὸν τοῦ θεοῦ
ἐν τῇ γαστρί σου ὑπὲρ νοῦν, πάναγνε,
35 λόγον ἡμῖν τέτοκας,
κόρη, δεξαμένη ἀσύγχυτον.

ᾠδὴ δʹ. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία*

Δι' ἀγάπησιν τοῦ κτίστου οἱ ἀθλοφόροι
πᾶσαν τοῦ κόσμου πλάνην
ὄντως παριδόντες,
40 μόνον ἐποθήσατε
f. 10ᵛ ‖ Χριστόν, ἀνακράζοντες·
« δόξα τῇ δυνάμει σου, κύριε ».

Ἐπιβάντες τῆς καμίνου, τὴν φλόγα ταύτην
πεπατηκότες, μάρτυρες,
45 δρόσον οὐρανόθεν
θείαν ἐπλουτήσατε,
Χριστῷ ἀνακράζοντες·
« δόξα τῇ δυνάμει σου, κύριε ».

Λαμπρυνθεῖσα τῆς τριάδος τῇ ἐπιλάμψει
50 ἡ τῶν μαρτύρων ἄριστος
δυάς, τῶν εἰδώλων
ἔλυσε σκοτόμαιναν
Χριστῷ ἀνακράζουσα·
« δόξα τῇ δυνάμει σου, κύριε ».

---

29 τῶ ἀδελφῶ B 30 κάλλιστα] κάλλει τε B 36 ἀσύγχυτον] ἀσύγχυτε Ct ἐκύησας S
heirm. δʹ EE 94, n. 133, Joannis 37 Δι' ἀγάπην σου S, ἀθλοφόροι] θεοφόροι Sa 40 ἐπεπόθησαν Ct S Sa 41 Χριστῶ S 43-48 troparium om. M 44 πεποιηκότες B 47 Χριστὸν Ct V 50 ἄριστος δυὰς constructionis discordia, Mitsakis 121 52 σκοτόμενα V B 53 ἀνακράζοντες B Sa Σσ

43-45 Dan. 3,23. 49-50

θεοτ. 55 Φερομένην τοῦ θανάτου ὁρμήν, παρθένε,
σὺ τὸν Χριστὸν τεκοῦσα
ἀφθόρως, Μαρία,
ἔστησας, συνάψασα
ἀΰλων ταῖς τάξεσιν
60 γένος τῶν βροτῶν, παναμώμητε.

ᾠδὴ εʹ. *Σύ, κύριέ μου, φῶς*

Οὐκ ἔτρεψαν ὑμᾶς
προσβολαὶ τῶν κολάσεων·
τῇ πέτρᾳ γὰρ τοῦ σωτῆρος
τῆς ψυχῆς ἡμῶν πόδας
65 ἐμφρόνως ἐστηρίξατε.

Νικήσαντες στερρῶς
τοὺς τῆς πλάνης προάρχοντας,
ἐθραύσατε τῶν εἰδώλων
τοὺς βωμοὺς τῶν αἱμάτων
70 ὑμῶν τῇ χύσει, ἔνδοξοι.

θεοτ. Ἀφεῖλες τὴν ἀρὰν
τὴν χαρὰν ὡς κυήσασα,
ἐθέωσας τοὺς γηΐνους
τὸν θεὸν σαῖς ἀγκάλαις
75 βαστάσασα, θεόνυμφε.

ᾠδὴ ϛʹ. *Θύσω σοι - μετὰ φωνῆς αἰνέσεως, κύριε,*

Ἴαμα
ψυχοφθόρων παθῶν ἀνεδείχθησαν
ὑμῶν τὰ αἵματα πᾶσιν,

---

59 ταῖς τάξεσιν] τὰ τάγματα Sa 60 γένη Sa Συ γένει B
heirm. εʹ EE 94, n. 133, Joannis 61 ἔτρεψεν B ἔστρεψαν Jb
62 προσβολὴν τῶν βασάνων σοφοὶ B κολάσεων] βασάνων Sa Συ βασάνων στερροὶ Ct V βασάνων πολλαὶ M post v. 62 Sa add. τῶν ἀνόμων ἐπολλαὶ
66 Οἰκήσαντες B 70 τὴν χύσιν B 73 θεώσασα B
heirm. ϛʹ EE 94, n. 133, Joannis 76 Ἴαμα] Αἷμα M 77 παθῶν] ψυχῶν Sa

τὰς πλευρὰς ξεόμενος
καὶ μὴ καμπτόμενος
εἰδώλοις θῦσαι τοῖς γλυπτοῖς,
ἀλλὰ τῷ ζῶντι θεῷ.

15 Προέβης ἐν πνεύματι,
ὡς ἐν ἐκστάσει
προβλέπων τὸν κύριον,
ἀφειδῶς στρεβλούμενος,
Πρόβε μακάριε,
20 ταῖς τῶν τυράννων προσβολαῖς
καὶ μὴ αἰσθόμενος.

τριαδ. * Τριὰς ὁμοούσιε,
πάτερ καὶ λόγε
καὶ πνεῦμα τὸ ἅγιον,
25 σὲ πιστῶς δοξάζομεν
ὡς ποιητὴν τοῦ παντὸς
καὶ σοὶ βοῶμεν ἐκτενῶς·
« σῶσον ἡμᾶς ὁ θεός ».

θεοτ. Βοήθειαν ἔχομεν
30 σκέπην καὶ τεῖχος
ἀεὶ τὴν πρεσβείαν σου,
θεομῆτορ ἔνδοξε,
χριστιανοὶ δι᾽ αὐτῆς
λυτρούμενοι τῶν δυσχερῶν
35 καὶ πάσης θλίψεως.

ᾠδὴ γ᾽. *Λίθον ὃν ἀπεδοκίμασαν*

Πρόβος εὐφημείσθω σήμερον
ὁ Χριστοῦ ὁπλίτης,
Τάραχος ὑμνείσθω
ὡς ἀθλητὴς γενναῖος,

11 σὺν Ἀνδρονίκω B 12 τὸν ἐχθρὸν καταπατήσαντες B 22-28 τριαδ. ed. MR II, 224 26 τριάς ..., σὲ ποιητὴν constructionis discordia, Mitsakis 121 27 ἐκτενῶς] εὐσεβῶς Q et MR
heirm. γ᾽ EE 11, n. 15, Andreae

40 Ἀνδρόνικος τιμάσθω
ὡς πρὶν ἀνδρειότατος
ἐν τῇ ἀθλήσει γεγονώς·
εἷς γὰρ οἱ τρεῖς γνώμῃ ἐδείχθησαν.

Ἔστη Τάραχος ὁ γέραστος
45 πρὸς τὸ βῆμα χαίρων
πίστει τοῦ τυράννου
καταφρονῶν γενναίως·
οὐ πῦρ γάρ, οὐδὲ ξίφος,
οὐ θῆρες κατίσχυσαν
50 αὐτόν, οὐ θάνατος πικρὸς
ὅλως χωρίσαι τῆς ἀγάπης Χριστοῦ.

Θείαν τοῦ Χριστοῦ, Ἀνδρόνικε,
ἔχων πανοπλίαν,
στρέψας τοῦ τυράννου
55 δαιμονικὴν στρατείαν,
ἀνδρείως καὶ γενναίως
ἐν ξύλῳ κρεμάμενος
« οὐ τοῖς εἰδώλοις προσκυνῶ
— ἔφης αὐτῷ — ἀλλὰ τῷ ζῶντι θεῷ ».

τριαδ. 60 Ἅμα τῷ πατρὶ δοξάσωμεν
τὸν υἱὸν καὶ πνεῦμα,
μίαν βασιλείαν
καὶ μίαν ἐξουσίαν,
πιστῶς ἀνυμνοῦμεν
65 ἁγίαν θεότητα
ἐν ὑποστάσεσι τρισίν,
ἣν προσκυνεῖ ὁ οὐρανὸς καὶ ἡ γῆ.

θεοτ. Σάρκα τὴν ἡμῶν προσέλαβε
τοῦ θεοῦ ὁ λόγος,
70 ἄσαρκος ὑπάρχων
ὡς καὶ θεὸς τῇ φύσει,
δι᾽ ἄκραν εὐσπλαγχνίαν

43 ἐδείχθητε B 44 ὁ γέραστος] ἀτάραχος Q 45 προστομῇ μαχαίρων B 46 τῶν τυράννου B 47 γενναίως] βασάνων Vg B Q 49 οὐ] οὐδὲ B 51 χωρήσας Ve 54 ἔτρεψας Q τοῦ om. Q 59 ἔφης] φάσκων Q

τεχθείς, ὡς ηὐδόκησεν,
ἐξ ἀπειράνδρου γυναικός,
75 σῴζων ἡμᾶς ἐκ τῆς ἀρχαίας ἀρᾶς.

f. 18 ‖ ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*

Τῶν ἁγίων μαρτύρων σου
ἐπιτελοῦντες τὴν θείαν μνήμην,
ἀνυμνοῦμέν σε, σωτὴρ ἡμῶν,
τὸν αὐτοὺς δοξάσαντα
80 καὶ στεφάνοις νίκης κοσμήσαντα.

Πυρπολούμενος, Τάραχε,
ἔρωτι θείῳ τοῦ ἐραστοῦ σου,
οὐκ ἐφλέχθης τὴν διάνοιαν
τῷ πυρὶ καυσάμενος,
85 πλημμυρῶν τῇ δρόσῳ τοῦ πνεύματος.

τριαδ. Τὸν πατέρα δοξάσωμεν,
υἱὸν καὶ πνεῦμα, θεολογοῦντες
ὡς μονάδα τρισυπόστατον
καὶ τριάδα ἄκτιστον
90 τῇ μορφῇ ἁπλῆν καὶ ἀΐδιον.

θεοτ. Ἰακὼβ ὁ προπάτωρ σε,
παρθενομῆτορ, προεῖδε πάλαι
ἐν τῷ ὕπνῳ ὥσπερ κλίμακα,
δι' ἧς μόνος ὁ κύριος
95 καταβὰς ἐφάνη ὡς ἄνθρωπος.

ᾠδὴ ε'. *Καταύγασον τὸν νοῦν*

Ἀκράδαντον τὸν νοῦν,
καρδίαν στερρὰν

---

74 ἐκ σῆς γαστρὸς παναληθῶς Q heirm. δ' EE 12, n. 16, Andreae 82 ἔρρωτι Ve, τῷ ἐραστῇ σου Vg 93 τοῖς ὕπνοις Vg 94 ὁ om. Vg heirm. ε' EE 13, n. 17, Andreae 1 heirm. Καταύγασον ἡμῶν τὸν νοῦν EE 96 τὸν om. Vg B

91-95 Gen. 28,12

καὶ φιλόθεον τὴν γνώμην
κεκτημένοι οἱ ἀθλοφόροι,
100 τυράννου τοῦ δεινοῦ τὸν θυμὸν
μὴ πτοηθέντες,
ἐνίκησαν τοῦ ἐχθροῦ
τὰς ἐπινοίας πάσας.

Ἐν μέσῳ τῶν δεινῶν
105 ὁ Πρόβος ἑστὼς
καὶ ξεόμενος τὰς σάρκας,
τῷ Μαξίμῳ ἐβόα λέγων·
« οὐ ξίφος, οὐδὲ πῦρ ἀπειλοῦν
ἐκ τῆς ἀγάπης
110 χωρίσει με τοῦ Χριστοῦ·
αὐτὸν γὰρ μόνον σέβω ».

τριαδ. Τριάδα προσκυνῶ,
μονάδα ὑμνῶ
τοῖς προσώποις καὶ οὐσίᾳ
115 ἡνωμένην διῃρημένως·
δοξάζω σὺν πατρὶ τὸν Χριστὸν
καὶ θεῖον πνεῦμα,
τὴν ἄναρχον ἐξουσίαν
καὶ θεότητα.

θεοτ. 120 Λελύτρωται τῆς πρὶν
κατάρας Ἀδὰμ
καὶ ἡ Εὕα τῶν ὠδίνων
ἐν τῷ τόκῳ σου, θεομῆτορ·
θεὸς γάρ, ὁ ἐκ σοῦ σαρκωθεὶς
125 ἀρρήτῳ λόγῳ,
ἀνέπλασε τῶν ἀνθρώπων
τὴν πεσοῦσαν φύσιν.

---

100 τοῦ om. Ve 101 πτοηθέντες] ποιηθέντες Ve 111 αὐτῷ μόνῳ Ve, σέβομαι Vg 122 ὀδύνων Vg B 123 θεογεννῆτορ Q 126 τὸν ἄνθρωπον Vg 127 πεσοῦσαν] παθοῦσαν Vg

---

120-122 Gen. 3,16-19

ᾠδὴ ϛ'. *Ὡς Ἰωνᾶν τὸν προφήτην*

Τῆς ἀφθαρσίας τὴν δόξαν
οἱ ἅγιοί σου πίστει, Χριστέ,
130 καὶ τῆς σῆς βασιλείας
τὸν πλοῦτον ποθήσαντες,
στεφανηφόροι ἐδείχθησαν,
ἀθλητικῶς διαλάμψαντες.

Πρὸς τὰς βασάνους ἀνδρείως,
135 Ἀνδρόνικε, Χριστοῦ ἀθλητά,
ἀντετάξω καὶ νίκης
βραβεῖον ἀράμενος
οὐρανοδρόμος τῷ πνεύματι
σὺν τοῖς ἀγγέλοις εὐφραίνῃ ἀεί.

f. 18ᵛ τριαδ. 140 ‖ Ἕνα θεὸν ἐν τριάδι
δοξάσωμεν, πατέρα καὶ υἱὸν
καὶ τὸ ἅγιον πνεῦμα
τῇ φύσει ἀδιαίρετον
καὶ ἀσυγχύτως τὰ πρόσωπα
145 τρισσοφεγγῆ προσκυνήσωμεν.

θεοτ. Ἐκ τῶν ἀχράντων αἱμάτων
τὴν σάρκα προσελάβου, Χριστέ,
τῆς παρθένου Μαρίας,
γενόμενος ἄνθρωπος,
150 καὶ ἐν αὐτῇ συνεκάλυψας
τοῦ πρωτοπλάστου τὴν γύμνωσιν.

Κοντάκιον.

Ἦχος β'. *Τὰ ἄνω ζητῶν*

* Τριάδος ἡμῖν
τὴν δόξαν ἐμφανίζοντες
. . . .

---

heirm. ϛ' EE 13, n. 16, Andreae 130 σῆς om. Vg B 133 διαλάμποντες Vg B Q
κοντάκ. ed. MR I, 408

ᾠδὴ ζ'. *Ἡ κάμινος, σωτήρ, ἐδροσίζετο*

Τιμήσωμεν Ταράχου τὸ εὔτονον,
ὑμνήσωμεν τοῦ Πρόβου τὴν ἔνστασιν
καὶ Ἀνδρονίκου πάντες
155 τὴν ἀνδρείαν μακαρίσωμεν.

Ψυχρὸν ὑμῖν τὸ πῦρ ἀπεδείκνυτο,
τὸ ξίφος δ' ἑωρᾶτο ἀνίσχυρον
καὶ τῶν βασάνων εἴδη,
ἀθλοφόροι, οὐκ ἐπτήξατε.

τριαδ. 160 * Δοξάσωμεν τριάδα ἀχώριστον,
ὑμνήσωμεν ἁγίαν θεότητα,
σὺν τῷ πατρὶ τὸν λόγον
καὶ τὸ πνεῦμα τὸ πανάγιον.

θεοτ. * Ἱκέτευε ὃν ἔτεκες κύριον,
165 ὡς εὔσπλαγχνον τῇ φύσει ὑπάρχοντα,
θεογεννῆτορ, σῶσαι
τὰς ψυχὰς τῶν ἀνυμνούντων σε.

ᾠδὴ η'. *Ὃν φρίττουσιν ἄγγελοι*

Σταυρῷ ὁπλισάμενοι
οἱ μάρτυρες Χριστοῦ,
170 ἀνίκητοι ὤφθησαν
τυράννων προσβολαῖς,
στεφάνους τῆς νίκης
οὐρανόθεν οἱ τρεῖς
λαβόντες ἀξίους
175 τριπλοῦς τῆς ἀφθαρσίας.

---

heirm. ζ' EE 12, n. 15, Andreae 157 δὲ ὁρᾶ τὸ Ve B Q 160-163 τριαδ. ed. MR II, 231 161 ἁγίαν] τὴν μίαν MR 164-167 θεοτ. ed. MR II, 231
heirm. η' EE 12, n. 15, Andreae

Τιμήσωμεν Τάραχον
καὶ Πρόβον τὸν στερρόν,
f. 19 σὺν ‖ τούτοις Ἀνδρόνικον
τὸν νέον ἀθλητήν·
180 οὐ πῦρ γάρ, οὐ ξίφος,
οὐδὲ θῆρες αὐτοὺς
Χριστοῦ τῆς ἀγάπης
κατίσχυσαν χωρίσαι.

τριαδ. * Ὑμνείσθω τρισάγιος
185 πατὴρ καὶ ὁ υἱὸς
καὶ πνεῦμα τὸ ἅγιον,
ἀμέριστος μονάς,
ἡ μία θεότης
ἡ κρατοῦσα δρακὶ
190 τὴν σύμπασαν κτίσιν
εἰς πάντας τοὺς αἰῶνας.

θεοτ * Ὁ ἄναρχος ἄρχεται
ὁ λόγος ἐν σαρκὶ
τεχθείς, ὡς εὐδόκησε,
195 θεός τε καὶ βροτὸς
ἐκ κόρης παρθένου,
ἀναπλάττων ἡμᾶς
τοὺς πρὶν πεπτωκότας
δι' ἄκραν εὐσπλαγχνίαν.

ᾠδὴ θ'. *Τὴν φωτοφόρον νεφέλην*

200 Ἐν ταῖς βασάνοις ἀνδρείως
παραταξάμενοι ἅμα,
τὰς ἀφαιρέσεις τῶν μελῶν
ἐν στερρότητι γνώμης
καὶ καρτερίας λογισμῷ
205 ὁρῶντες οἱ ἅγιοι ὑπέμειναν,

177 τοὺς στερρούς B Q 179 τὸν νέον] γενναῖον B Q 181 θῆρας Ve 184-191 τριαδ. ed. MR II, 233 192-199 θεοτ. ed. MR II, 233 heirm. θ' EE 14 n. 17, Andreae

198 Gen. 3,6

τῷ τυράννῳ βοῶντες·
« τοῖς εἰδώλοις οὐ λατρεύομεν ποτέ ».

Ἐν τῷ ξυρῷ ἀπετμήθη
Τάραχος χαίρων τὰ ὦτα,
210 Πρόβος τὸ φῶς τῶν ὀφθαλμῶν
ἐστερεῖτο προθύμως
καὶ ὁ Ἀνδρόνικος στερρῶς
ἐν ξύλῳ κρεμάμενος ἐξέετο·
καὶ οἱ τρεῖς ἐν βασάνοις
215 τῇ τριάδι λειτουργοῦσι μυστικῶς.

τριαδ. * Τὴν τρισυπόστατον φύσιν
καὶ ἀδιαίρετον δόξαν
τὴν ἐν θεότητι μιᾷ
ὑμνοῦμεν ἀπαύστως
220 ἐν οὐρανῷ καὶ ἐπὶ γῆς,
τριάδα ἀχώριστον δοξάσωμεν
σὺν υἱῷ, τὸν πατέρα
καὶ τὸ πνεῦμα προσκυνοῦντες εὐσεβῶς.

θεοτ. * Ὕμνον ἐπάξιον πᾶσα
225 τῇ θεοτόκῳ ἡ κτίσις
σὺν τῷ ἀγγέλῳ Γαβριὴλ
ἀνακράζει βοῶσα·
« χαῖρε, ἡ μήτηρ τοῦ θεοῦ,
δι' ἧς ἐλυτρώθημεν, πανάμωμε,
230 τῆς ἀρχαίας κατάρας,
γεγονότες ἀφθαρσίας κοινωνοί ».

208 ξηρῷ B 209 χαίρων τὰ ὦτα] χαίρωντα τώτε Ve 216-223 τριαδ. ed. MR II, 235 219 ὑμνουμένην MR 224-231 θεοτ. ed. MR II, 235 224 πᾶσαν Ve

228 Luc. 1,28

12 OCT.

CANON XIII (2)

IN SANCTOS PROBUM, TARACHUM ET ANDRONICUM

Vat. gr. 1850 = Ve, ff. 17-19
Vat. gr. 2270 = Vg, ff. 108-109ᵛ
Barber. gr. 535 = B, ff. 125ᵛ-128
Paris. gr. 13 = Q, ff. 107ᵛ-108

Canon secundum traditionem

Barber. gr. 535 = B
Vat. gr. 2270 = Vg

Ὁ κανών.

Ἦχος α'.

ᾠδὴ α'. Ὠδὴν ἐπινίκιον

1-7 Τριάδος ὑπέρμαχοι
.... = Ve 1-7

Τρισσώνυμον στράτευμα
τῆς παναγίας
10 τριάδος ἀνεδείχθησαν
οἱ στερροὶ ἀδάμαντες,
Πρόβος καὶ Τάραχος
σὺν Ἀνδρονίκῳ τὸν ἐχθρὸν
καταπατήσαντες.

15-21 Ἀτάραχος γέγονας
.... = Ve 8-14

θεοτ. 22-28 Βοήθειαν ἔχομεν
.... = Ve 29-35

heirm. α' EE 11, n. 15, Andreae

10 τριάδος] στερροὶ B Vg per analogiam forsitan priori tropario

ᾠδὴ γ'. Λίθον ὃν ἀπεδοκίμασαν

29-36 Πρόβος εὐφημείσθω σήμερον
.... = Ve 36-43

f. 126 37-44 ‖ Ἔστη Τάραχος ὁ γέραστος
.... = Ve 44-51

45 Πρόβος ἔστη πρὸ τοῦ βήματος,
ὁ γενναῖος μάρτυς,
φέρων ἐν καρδίᾳ
τὸν τοῦ κυρίου φόβον,
Μαξίμου τοῦ τυράννου
50 μηδ' ὅλως πτοούμενος
τὰς ἀπειλὰς καὶ τὰς ποινάς,
ἔχων ἐλπίδα τῆς ἀφθάρτου ζωῆς.

θεοτ. 53-60 Σάρκα τὴν ἡμῶν προσέλαβεν
.... = Ve 68-75

ᾠδὴ δ'. Εἰσακήκοα, κύριε,

61-65 Πυρπολούμενος, Τάραχε,
.... = Ve 81-85

Τὰς βασάνους οὐκ ἔπτηξας,
Πρόβε τρισμάκαρ, τοῦ ἡγεμόνος
καὶ εἰδώλοις οὐκ ἐλάτρευσας,
τῷ Χριστῷ προθύμως δὲ
70 προσηνέχθης θῦμα εὐπρόσδεκτον.

Ἀνδρειόφρον Ἀνδρόνικε,
τίς κατ' ἀξίαν ἐγκωμιάσει
f. 126ᵛ ‖ τὸ γενναῖον τῆς ἀνδρείας σου
καὶ στερρὸν τῆς πίστεως;
75 τοῖς ἐχθροῖς γὰρ ὤφθης ἀήττητος.

heirm. γ' EE 11, n. 15, Andreae
heirm. δ' EE 12, n. 16, Andreae

66-70 om. Vg

θεοτ. 76-80 Ἰακὼβ ὁ προπάτωρ σε,
.... = Ve 91-95

ᾠδὴ ε'. *Καταύγασον τὸν νοῦν*

81-88 Ἀκράδαντον νοῦν
.... = Ve 96-103

Ὡς ἄκακος ἀμνός,
90 ὡς θῦμα δεκτὸν
προαιρέσει ταῖς βασάνοις
ὁ Τάραχος ἐνεκαρτέρει,
κυρίῳ τῷ θεῷ εἰς ὀσμὴν
πρὸς εὐωδίαν
95 γενόμενος εὐσεβῶς
ἀθλητικοῖς ἀγῶσιν.

97-104 Ἐν μέσῳ τῶν δεινῶν
.... = Ve 104-111

105 Ἀνδρείαν τὴν ψυχήν,
τὸν νοῦν καθαρὸν
καὶ τὸ φρόνημα γενναῖον
κεκτημένος ὁ ἀθλοφόρος
Ἀνδρόνικος, πυρὸς ἀπειλὴν
110 οὐκ ἐπτοήθη,
τροπούμενος τὸν ἐχθρὸν
διὰ τῆς καρτερίας.

113-120 Λελύτρωται τῆς πρὶν
.... = Ve 120-127

ᾠδὴ ς'. *Ὡς Ἰωνᾶν τὸν προφήτην*

121-126 Τῆς ἀφθαρσίας τὴν δόξαν
.... = Ve 128-133

heirm. ε' EE 13, n. 17, Andreae   96 ἀγῶσιν] καμάτοις Q
105-112 om. Vg
heirm. ς' EE 13, n. 16, Andreae

89-96 cf. Eph. 5,2

Τῇ τοῦ τυράννου προστάξει
f. 127 ὁ Τάραχος τὰ ὦτα ‖ ξυρῷ
ἀπετμήθη, πυρὶ δὲ
130 τὴν κάραν φλεγόμενος,
τῇ διανοίᾳ ὡς ἔνδροσος
διὰ Χριστοῦ ὡραΐζεται.

Ὁ γενναιότατος Πρόβος
τὰ ὄμματα δεινῶς κεντηθείς,
135 ἀπετμήθη τὴν γλῶσσαν,
τὴν ὄψιν συντέθλασται,
ἀλλὰ Χριστὸν προορώμενος,
προθύμως πάντα ὑπέμεινεν.

θεοτ. 139-144 Ἐκ τῶν ἀχράντων αἱμάτων
.... = Ve 146-151

Κοντάκιον.

Ἦχος β'. *Τὰ ἄνω ζητῶν*

Τριάδος ἡμῖν
.... = Ve

ᾠδὴ ζ'. *Ἡ κάμινος, σωτήρ, ἐδροσίζετο*

145-148 Τιμήσωμεν Ταράχου τὸ εὔτονον,
.... = Ve 152-155

149-152 Ψυχρὸν ὑμῖν τὸ πῦρ ἀπεδείκνυτο
.... = Ve 156-159

128 ξηρῷ B   131 ἔνδροσος] δρόσος Q   132 Χριστὸν Q   136 συντέθλαστω B Vg
heirm. ζ' EE 12, n. 15, Andreae

Τὰ σώματα ἀθλήσει πυρούμενοι,
ὑπέρλαμπροι τῷ πνεύματι ὤφθητε,
f. 127v 155 στεφανη‖φόροι, ἅμα
τοῖς ἀγγέλοις συγχορεύοντες.

157-160 * Ἱκέτευε ὃν ἔτεκες κύριον,
.... = Ve 164-167

ᾠδὴ η'. *Ὃν φρίττουσιν ἄγγελοι*

161-168 Τιμήσωμεν Τάραχον
.... = Ve 176-183

Γενναίῳ φρονήματι,
170 στερρότητι ψυχῆς
εἰδώλων τὸ ἄθεον,
τυράννων τὴν ὀφρὺν
καὶ τοῦ διαβόλου
τὸν ὑψαύχενα νοῦν
175 ἀνδρείως καθεῖλον
Χριστοῦ οἱ ἀθλοφόροι.

Τὴν γῆν ἡγιάσατε
τοῖς αἵμασιν ὑμῶν,
τῇ πίστει φωτίσαντες
180 ἀνθρώπων τὰς ψυχάς,
ἀγγέλων χοροὺς δέ,
ἀθλοφόροι Χριστοῦ,
ἠθροίσατε δόξης
ὑμῶν πρὸς εὐφημίαν.

θεοτ. 185-192 * Ὁ ἄναρχος ἄρχεται
.... = Ve 192-199

---

heirm. η' EE 12, n. 15, Andreae 183 ἀθροίσατε B Vg

ᾠδὴ θ'. *Τὴν φωτοφόρον νεφέλην*

Πρόβον καὶ Τάραχον πάντες
σὺν Ἀνδρονίκῳ τιμῶντες,
195 πανηγυρίσωμεν αὐτῶν
τὴν ἐτήσιον μνήμην,
δοξολογοῦντες ἐν αὐτῇ
Χριστὸν τὸν θεὸν ἡμῶν, τὸν δείξαντα
ἐπιγείους φωστῆρας
200 τοὺς ἁγίους διαλάμποντας ἡμᾶς.

201-208 Ἐν τῷ ξυρῷ ἀπετμήθη
.... = Ve 208-215

f. 128 ‖ Ξίφους, πυρὸς καὶ θηρίων
210 καὶ τὰς ποινὰς τῶν βασάνων
καταφρονήσαντες στερρῶς,
[ἐν ξύλῳ κρεμάμενοι,]
ἀθληταὶ τοῦ σωτῆρος,
τῶν οὐρανίων ἀγαθῶν
τυχεῖν ἠξιώθητε, πανόλβιοι·
215 διὸ καὶ προσκυνοῦμεν
τὰς εἰκόνας καὶ τὰ λείψανα ὑμῶν.

θεοτ. 217-224 * Ὕμνον ἐπάξιον πᾶσα
.... = Ve 224-231

---

heirm. θ' EE 14, n. 17, Andreae
post v. 211 ἐν ξύλῳ κρεμμάμενος, quod codex Q iam omiserat, ipsa expunxi quia metro et ratione exulat

12 OCT. *CANON* XIII (3)

IN SANCTOS PROBUM, TARACHUM ET ANDRONICUM

Vat. gr. 1850 = Ve, ff. 17-19
Vat. gr. 2270 = Vg, ff. 108-109v
Barber. gr. 535 = B, ff. 125v-128
Paris. gr. 13 = Ω, ff. 107v-108

Canon secundum traditionem Paris. gr. 13 = Ω

Κανὼν τῶν ἁγίων.

Ἦχος α'.

ᾠδὴ α'. *Ὠδὴν ἐπινίκιον*

1-7 Τριάδος ὑπέρμαχοι
.... Ve 1-7

8-14 Τρισσώνυμον στράτευμα
.... = B 8-14

15 Τῆς νίκης ἐπώνυμος
καὶ τῆς ἀνδρείας
ὑπάρχων, Ἀνδρόνικε,
ἀνδρικῶς ἐνίκησας
τοὺς πολεμοῦντας ἐχθροὺς
20 καὶ στέφος νίκης ἐκ θεοῦ,
μάρτυς, ἀπέλαβες.

22-28 * Τριὰς ὁμοούσιε,
.... = Ve 22-28

θεοτ. 29-35 Βοήθειαν ἔχομεν,
.... = Ve 29-35

---

tit. in margine externo Βασιλ⟨είου⟩ legitur
heirm. α' EE 11, n. 15, Andreae

ᾠδὴ γ'. *Λίθον ὃν ἀπεδοκίμασαν*

36-43 Πρόβος εὐφημείσθω σήμερον
.... = Ve 36-43

44-51 Ἔστη Τάραχος ἀτάραχος
.... = Ve 44-51

52-59 Πρόβος ἔστη πρὸ τοῦ βήματος,
.... = B 45-52

60-67 Θείαν τοῦ Χριστοῦ, Ἀνδρόνικε,
.... = Ve 52-59

θεοτ. 68-75 Σάρκα τὴν ἡμῶν προσέλαβε
.... = Ve 68-75

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ λόγου*

Τῶν μαρτύρων τὴν μνήμην
θεοπρεπῶς
εὐφημήσωμεν πάντες
οἱ γηγενεῖς
5 Πρόβου Ταράχου τε
καὶ Ἀνδρονίκου ἐν ᾄσμασιν·
ὡς φωστῆρες γὰρ ὄντες
ἐν ὕψει τῆς πίστεως
διαλάμπουσι κόσμῳ
10 ἀκτῖνας τῆς χάριτος·
ὅθεν ἰαμάτων
εἰληφότες τὴν χάριν,
ναμάτων προχέουσιν
ποταμοὺς τοῖς αἰτοῦσιν·
15 οἷς ἐν πίστει βοήσωμεν·
« πρέσβευε τὸν θεὸν ἡμῶν ».

---

heirm. γ' EE 11, n. 15, Andreae 44 ἀτάραχος] ὁ γέραστος Ve B Vg
heirm. καθ. confer cum MR I, 9 Τὴν σοφίαν καὶ λόγον

ᾠδὴ δʹ. *Εἰσακήκοα, κύριε,*

Ὡς φωστῆρες ὑπέρλαμπροι
τῆς ἀληθείας οἱ ἀθλοφόροι
τὰς ψυχὰς ἡμῶν φωτίζουσιν
ἀστραπαῖς τῆς χάριτος
80 τῶν πιστῶς τιμώντων τὴν μνήμην αὐτῶν.

81-85 Πυρπολούμενος, Τάραχε,
.... = Ve 81-85

86-90 Τὰς βασάνους οὐκ ἔπτηξας,
.... = B 66-70

91-95 Ἀνδρειόφρον Ἀνδρόνικε,
.... = B 71-75

θεοτ. 96-100 Ἰακὼβ ὁ προπάτωρ σε
.... = Ve 91-95

ᾠδὴ εʹ. *Καταύγασον τὸν νοῦν*

101-108 Ἀκράδαντον τὸν νοῦν,
.... = Ve 96-103

109-116 Ὡς ἄκακος ἀμνός,
.... = B 89-96

117-124 Ἀνδρείαν τὴν ψυχὴν
.... = B 105-112

θεοτ. 125-132 Λελύτρωται τῆς πρὶν
.... = Ve 120-127

---

heirm. δʹ EE 12, n. 16, Andreae
heirm. εʹ EE 13, n. 17, Andreae

ᾠδὴ ϛʹ. *Ὡς Ἰωνᾶν τὸν προφήτην*

133-138 Τῆς ἀφθαρσίας τὴν δόξαν
.... = Ve 128-133

139-144 Τῇ τοῦ τυράννου προστάξει
.... = B 127-132

145-150 Ὁ γενναιότατος Πρόβος
.... = B 133-138

151-156 Πρὸς τὰς βασάνους ἀνδρείως
.... = Ve 134-139

θεοτ. 157-162 Ἐκ τῶν ἀχράντων αἱμάτων
.... = Ve 146-151

ᾠδὴ ζʹ. *Ἡ κάμινος, σωτήρ, ἐδροσίζετο*

163-166 Τιμήσωμεν Ταράχου τὸ εὔτονον,
.... = Ve 152-155

167-170 Ψυχρὸν ὑμῖν τὸ πῦρ ἀπεδείκνυτο
.... = Ve 156-159

171-174 Τὰ σώματα ἀθλήσει πυρούμενοι
.... = B 153-156

Τρισόλβιοι, τρισάγιον στράτευμα,
πρεσβεύσατε τριάδα τὴν ἄκτιστον,
τὸν ποιητὴν τῶν ὅλων,
τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

θεοτ. 179-182 * Ἱκέτευε ὃν ἔτεκες, κύριον,
.... = Ve 164-167

---

heirm. ϛʹ EE 13, n. 16, Andreae
heirm. ζʹ EE 12, n. 15, Andreae

ᾠδὴ η'. *Ὃν φρίττουσιν ἄγγελοι*

183-190 Τιμήσωμεν Τάραχον
.... = Ve 176-183

191-198 Γενναίῳ φρονήματι,
.... = B 169-176

199-206 Τὴν γῆν ἡγιάσατε
.... = B 177-184

θεοτ. 207-214 * Ὁ ἄναρχος ἄρχεται
.... = Ve 192-199

ᾠδὴ θ'. *Τὴν φωτοφόρον νεφέλην*

215-222 Πρόβον καὶ Τάραχον πάντες
.... = B 193-200

223-230 Ἐν τῷ ξυρῷ ἀπετμήθη
.... = Ve 208-215

231-238 Ξίφους, πυρὸς καὶ θηρίων
.... = B 209-216

θεοτ. 239-246 * Ὕμνον ἐπάξιον πᾶσα
.... = Ve 224-231

---

heirm. η' EE 12, n. 15, Andreae
heirm. θ' EE 14, n. 17, Andreae

IN SANCTOS PROBUM, TARACHUM ET ANDRONICUM

Crypt. Δ.α. XXVIII = Cs, ff. 18v-22
Paris. gr. 1619 = P, ff. 95-97

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Χορὸς τριφεγγὴς εὐλογείσθω μαρτύρων. ⟨Γεωργίου⟩

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἁρματηλάτην Φαραὼ ἐβύθισε*

Χοροὶ ἀγγέλων ἐπὶ γῆς προκύψαντες
ἐπινικίοις φωναῖς
ἐν τῇ ὑμῶν μνήμῃ,
μάρτυρες ἀοίδιμοι,
5 τὸ ἄμαχον γεραίρουσι
καὶ ἀνίκητον κράτος
τοῦ ἐν ἀθλήσει ἐνδύσαντος
δύναμιν ὑμᾶς ἀπροσμάχητον.

Οἱ νοητοὶ τῆς εὐσεβείας ἔφαναν
10 φωστῆρες σήμερον,
καὶ μυστικῇ αἴγλῃ
τῶν χαρίτων ἅπασαν
τὴν οἰκουμένην ηὔγασαν
Πρόβος τε σὺν Ταράχῳ
15 καὶ Ἀνδρονίκῳ, ἰθύνοντες
πάντας εἰς ἄδυτον ἥλιον.

---

tit. Γεωργίου legitur in margine folii Cs, et e theotokiis ΓΕΕΩΡΓΙΟΥ apparet; P autem mutilus et canon deficit ab initio usque ad versum 24
heirm. α' EE 219, n. 314, Joannis

Ῥώμῃ τῇ θείᾳ τὸ σαθρὸν τῆς φύσεως
ἐνισχυόμενοι
τοῦ δυνατοῦ πᾶσαν
20 τὴν ἰσχύν, ἀοίδιμοι,
γενναίως ἐξεδύσατε
καὶ ἀνίσχυρον τοῦτον
ἐχθρὸν τῷ κόσμῳ ἐδείξατε,
τὸν ἐνδυναμοῦντα δοξάζοντες.

25 Ὅλην ἐν ἄθλοις τοῦ ἐχθροῦ κενώσαντες
τὴν βελοθήκην, σοφοί,
καὶ νοητῶς τοῦτον
ἄπορον καὶ ἄοπλον
f. 19 ‖ λαβόντες ἐτροπώσασθε
30 καὶ ὡς σκῦλα ἀνθρώπους
τῆς τούτου πλάνης ἀφείλεσθε,
Χριστὸν ἀσιγήτως δοξάζοντες.

θεοτ. Γένος ἀνθρώπων, τῆς τρυφῆς ἐξόριστον
πάλαι γενόμενον
35 παρακοῆς τόλμῃ
καὶ τοῦ ἀξιώματος
τῆς πρώτης ὡραιότητος
ἐκπεσόν, ἀνεκλήθη
διὰ τοῦ τόκου σου, πάναγνε,
40 καὶ υἱοθεσίας ἠξίωται.

ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω

Συνθλάσαντες
κεφαλὰς ἀοράτων
δρακόντων, ἅγιοι,
τῶν ὁρωμένων τυράννων
45 τὴν πλάνην κατετροπώσασθε.

---

18 ἐνισχυόμενον Cs 23 ἐδείξατο Cs 24 δοξάζοντα Cs 31 ἀφείλασθε Cs 33-40 θεοτ. om. P 33 Γένους Cs odes β' deest in P heirm. β' EE 226, n. 324, Germani, metrica troporiorum autem discedere interdum videtur anacrusi observata aliquot syllabarum

Τὸν ἔμπυρον
εἰσδεξάμενοι πόθον
τοῦ ποιητοῦ καὶ θεοῦ
ἐν ψυχῇ, ἀθλοφόροι,
50 ἠρνήσασθε τὴν παροῦσαν ζωήν.

Ῥήμασιν
ἀληθείας τὸ ψεῦδος,
καθάπερ βέλεσιν
ἐκκεντοῦντες, τὴν θραῦσιν
55 τῆς πλάνης, σοφοί, ἐστήσατε.

Ἴδοσαν
ὑπὲρ φύσιν ἐν φύσει
θνητῇ οἱ τύραννοι
τὴν ὑμῶν καρτερίαν,
60 γενναῖοι, καὶ κατῃσχύνθησαν.

θεοτ. Ἔστησεν
ἀθεΐας τὸν δρόμον,
ἁγνή, ὁ τόκος σου
καὶ ὡδοποίησε τρίβους
65 ἀνθρώποις διὰ τῆς χάριτος.

ᾠδὴ γ'. *Ὁ στερεώσας κατ' ἀρχὰς*

Φωτὸς τοῦ θείου, ἀθληταί,
ἀκτῖσι καταυγασθέντες,
φαεινοὶ ὥσπερ ἀστέρες ἐν κόσμῳ
ἀνεδείχθητε, φαιδρὰν
70 τὴν αἴγλην τὴν τῆς πίστεως
ἐν τῇ ὁμολογίᾳ
πᾶσι πιστοῖς ἀπολάμποντες.

Ἐν τῷ πελάγει τῆς ὑμῶν,
ἀοίδιμοι, καρτερίας

---

56 Ἴδωσι Cs cf. Psaltes 214, Mitsakis 65 57 ἐμφύσου Cs heirm. γ' EE 219, n. 314, Joannis

75 τῶν ἐχθρῶν τὰς προσβολάς, ὡς προστάτας,
κατεδύσατε, Χριστοῦ
προνοίᾳ κυβερνώμενοι·
διὸ πρὸς οὐρανίους
θείους λιμένας ὡρμίσθητε.

80 Γνόφον ποικίλων αἰκισμῶν
διαδραμόντες οἱ θεῖοι
ἀθλοφόροι τῷ φωτὶ τῆς τριάδος
f. 19v || προσεπάλαισαν· διὸ
ἀκτῖσι τῶν θαυμάτων ἡμᾶς
85 Πρόβος τε σὺν Ταράχῳ
καὶ Ἀνδρονίκῳ φαιδρύνουσιν.

θεοτ. Ἐκ τῶν παρόντων μοχθηρῶν
τὸ φρόνημα τῆς ψυχῆς μου,
θεοτόκε, ἀνυψοῦσα πρὸς μόνον
90 τοῦ υἱοῦ σου καὶ θεοῦ
τὸν πόθον, ἐπανάγαγε
ταῖς πρὸς αὐτὸν πρεσβείαις
καὶ ἱκεσίαις σου, ἄχραντε.

ᾠδὴ δ'. *Σύ μου, Χριστέ,*

Γνῶσιν θεοῦ
95 ἄπταιστον καταπλουτήσαντες
τὰ τῆς πλάνης
ἤλεγξαν σοφίσματα
οἱ ἀθληταί, δείξαντες ψευδῆ
πᾶσαν τῶν ἑλλήνων
100 σοφίαν τὴν ἐν τοῖς ῥήμασιν,
ἐν ἔργοις φανεροῦντες
τὸν τῆς πίστεως λόγον
ἀληθῆ καὶ ἀσάλευτον μένοντα.

---

75 προστάτας] τριστάτας P 78 οὐρανοὺς Cs 80 ποικῖλον πειρασμῶνP 83 προσεπάλασαν P 85 Πρόβος ἀεὶ καὶ Τάραχος P 86 καὶ] σὺν P heirm. δ' EE 219, n. 314, Joannis 96 πλάνης om. P 97 ἤλλαξαν Cs 103 ἀληθεῖ P

99-100 I Cor. 2,4-12

Ἡ ἀπλανής,
105 ἔνδοξε, καὶ θεία πρόνοια
τὴν ἐν ἔργοις
κλῆσιν προϋπέφηνε
τῶν πρακτικῶν τρόπων σου, σοφέ·
πρόβος γὰρ ἐδείχθης
110 ἐν λόγοις τε καὶ παλαίσμασι
τῶν θείων ἀθλοφόρων
προηγούμενος, μάρτυς,
καὶ προφθάνων τῶν ἄθλων τὸ στάδιον.

Σὺ διελθών,
115 ἔνδοξε, πλάνης τὴν θάλασσαν
καὶ ταράξας
ταύτην τῇ ἀνδρείᾳ σου
μωσαϊκῶς ἴθυνας λαοὺς
εἰς ἐπαγγελίαν
120 τὴν ἐπουράνιον, Τάραχε,
ὡς στύλῳ φωτοφόρῳ
τῇ τῆς πίστεως αἴγλῃ
καταλάμπων τοὺς γνόντας τὸν κύριον.

Ἐν τῇ Χριστοῦ
125 χάριτι, μάρτυς, νευρούμενος,
τῆς ἀπάτης
ἔτρεψας τὰς φάλαγγας
καὶ νικητὴς ὤφθης κραταιὸς
ἀνδρῶν ἀπειθούντων
130 καὶ δυσσεβούντων, Ἀνδρόνικε·
διὸ καὶ φερωνύμως
ἀνεδέξω τὴν κλῆσιν
ἐν τοῖς ἔργοις κυρῶν τὴν ἀλήθειαν.

f. 20 θεοτ. || Ὡς ἀρραγῆ
135 ἄγκυράν σε, θεονύμφευτε,
κεκτημένοι
οἱ ἐν τρικυμίαις παθῶν

---

105 ἔνδοξος Cs 110 τε καὶ] καὶ ἐν P 118 μωσαϊκῶς P μαρτυρικῶς Cs ἴθυνεν Cs 125 νευρούμενον P 134-143 θεοτ. om. P

---

114 ss. cf. Ex. 14,15-24

καὶ πειρασμῶν ὄντες τοῦ ἐχθροῦ,
διὰ σοῦ τὴν ζάλην
140 τῶν θλιβερῶν ἐκλυτρούμεθα·
διὸ καὶ εἰς γαλήνην
εὐθυμίας αἰσίως
σὲ ὑμνοῦντες ἀεὶ ὁρμιζόμεθα.

ᾠδὴ ε'. *Ἵνα τί με ἀπώσω*

Ὑποθέντες τὸν ὄφιν,
145 μάρτυρες ἀήττητοι,
ὑπὸ τοὺς πόδας ὑμῶν
τὸν ἐν παραδείσῳ
τοὺς προπάτορας πάλαι πτερνίσαντα,
ἐν ἀνδρείᾳ τοῦτον
150 μαρτυρικῇ καὶ καρτερίᾳ,
συνεργοῦντος Χριστοῦ, ἀπεπνίξατε.

Λογισμῷ ἀσαλεύτῳ
ἐπὶ τὴν ἀκλόνητον
πέτραν τῆς πίστεως
155 τῆς ψυχῆς τὴν βάσιν
στερεώσαντες, ἅγιοι μάρτυρες,
προσβολαῖς τυράννων
καὶ μηχαναῖς ταῖς πολυτρόποις
οὐκ ἐσείσθητε γνώμης τὸ πάγιον.

160 Οἱ θηρῶν νοουμένων
ἑαυτοὺς φυλάξαντες
ἀτρώτους, ἅγιοι,
ὁρωμένους θῆρας,
τὸ ἀρχαῖον τηροῦντες ἀξίωμα
165 τὸ ἐν παραδείσῳ,
βασιλικῇ παρακελεύσει,
ἐν δυνάμει Χριστοῦ ὑπετάξατε.

---

heirm. ε' EE 219, n. 314, Joannis 144 Ὑψωθέντες Cs 151 συνεργοῦντα Χριστοῦ ἀπεπνήξατε P 162 ἀπτώτους Cs 165 τῶν Cs το P

144-148 Gen. 3,1-5 155-156 Act. 3,7 165 significatio Gen. 3,3

θεοτ. Ῥυπωθεῖσαν τὴν φύσιν
τὴν τῆς ἀνθρωπότητος
170 διὰ παράβασιν,
ὁ δεσπότης ταύτην,
θεοτόκε, ἐκ σοῦ ἐνδυσάμενος
ἀπεκάθαρέ τε
καὶ τὴν στολὴν τῆς ἀφθαρσίας
175 κατεκόσμησεν, ὡς μόνος εὔσπλαγχνος.

ᾠδὴ ς'. *Τὴν δέησιν ἐκχεῶ πρὸς κύριον*

Γαλήνῃ τῇ τοῦ Χριστοῦ οἱ ἅγιοι
κυβερνώμενοι, ἐχθρῶν τρικυμίας
καὶ ἀπειθῶν νοουμένας σπιλάδας
ἐν τῷ πελάγει τῶν ἄθλων ἐξέφυγον
180 καὶ ἔφθασαν ὡς ἀληθῶς
εἰς λιμένας ἀκλύστους τοῦ πνεύματος.

f. 20v ‖ Ἐν αἵμασι τοῖς οἰκείοις, ἅγιοι,
τῶν εἰδώλων τὰ μιάσματα πάντα
ἀπὸ τῆς γῆς ἐκκαθάραντες, μύρον
185 τῆς εὐωδίας Χριστοῦ ἀνεβλύσατε,
δι' οὗ ἡμᾶς ἐν τῇ αὐτοῦ
νοητῶς ἀγαπήσει ἐθέλξατε.

Ἰσχύσαντες κατ' ἐχθρῶν οἱ μάρτυρες
νοητῶν καὶ ὁρωμένων, τὴν νίκην
190 παρὰ Χριστοῦ Πρόβος τε καὶ Τάραχος
σὺν Ἀνδρονίκῳ τῷ θείῳ ἐδέξαντο
καὶ ἔχοντες τὴν πρὸς αὐτὸν
παρρησίαν πιστοὺς ἐνισχύουσιν.

θεοτ. Γεγόναμεν διὰ σοῦ, πανάχραντε,
195 οἱ τῷ πρὶν κατακριθέντες θανάτῳ
υἱοὶ φωτὸς καὶ ζωῆς ἀθανάτου

---

169 διαπαραβάσεως P 174 τῇ στολῇ P
heirm. ς' EE 219, n. 314, Joannis 178 σπιλάδων P 191 ἐδέξατο Cs

---

168-170 Gen. 3,23-24

ἐν μετουσίᾳ καὶ δόξῃ συμμέτοχοι,
καὶ χαίροντες ἐπὶ τοῖς σοῖς
μεγαλείοις ὑμνοῦμεν τὸν τόκον σου.

Κοντάκιον.

Ἦχος β΄. *Τὰ ἄνω ζητῶν*

Τριάδος ἡμῖν
....

ᾠδὴ ζ΄. *Θεοῦ συγκατάβασιν*

200 Σοφῶς ἐξελέγξαντες
τοὺς ἀγνοοῦντας τὸν ποιητὴν καὶ θεὸν
ἀληθείας τοῖς λόγοις,
f. 21 ‖ τοῖς ἔργοις τούτους ἐβεβαιώσατε,
ἐν παρρησίᾳ κραυγάζοντες, ἅγιοι·
205 « εὐλογητὸς ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Θεὸν μὲν ἀόρατον
τῇ θείᾳ φύσει πᾶσι κηρύττοντες,
ἐν σαρκὶ δὲ τὸν λόγον
210 φανερωθέντα δι' εὐσπλαγχνίαν πολλὴν
οἱ ἀθλοφόροι δοξάζοντες ἔμελπον·
« εὐλογητός, ὁ θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Ὡς κλίμακα θέμενοι
215 τὰς τῶν βασάνων ἐπαναβάσεις, σεπτοί,

---

197 συμμέτοχοι] μετέχοντες P
κοντάκ. om. P κοντάκ. ed. MR I, 408
heirm. ζ' EE 219, n. 314, Joannis 202 τοῖς] καὶ P 204 ἅγιοι om. P. 211 ἔμελπον] ἔψαλλον P 215 ἐπαναβάσεις, σεπτοί] ἐπαναστάσεις σοφοί P

πρὸς οὐράνιον ὕψος
καὶ τῶν ἀγγέλων τὰ θεῖα τάγματα
μετ' εὐφροσύνης ἐφθάσατε, κράζοντες·
« εὐλογητός, ὁ θεός,
220 ὁ τῶν πατέρων ἡμῶν ».

Μερὶς τοῦ θεοῦ ἡμῶν
καὶ θεῖος κλῆρος ὄντες οἱ ἅγιοι,
τὰ ἀλλόφυλα θράση
τῆς ἀθείας κατεπολέμησαν,
225 σὺν Ἀνδρονίκῳ Πρόβος τε καὶ Τάραχος,
τὸν δυναμοῦντα αὐτοὺς
ὑμνολογοῦντες Χριστόν.

θεοτ. Ἰδεῖν ἠξιώθημεν,
θεογεννῆτορ, διὰ τοῦ τόκου σου
230 ἃ ἰδεῖν οἱ προφῆται
ἐκβεβηκότα προεπεθύμησαν,
τῆς εὐσπλαγχνίας Χριστοῦ τὰ μυστήρια
καὶ μεγαλεῖα, ἁγνή,
δι' ὧν ἐσώθημεν.

ᾠδὴ η΄. *Ἑπταπλασίως κάμινον*

235 Ἀπορραγέντες, ἅγιοι,
τῶν παρόντων τῆς σχέσεως
καὶ Χριστὸν τὸν μόνον ὀρεκτὸν ποθήσαντες,
αὐτῷ συνηρμόσθητε
ἐν συναφείᾳ χάριτος
240 καὶ ὡς ποιητὴν καὶ λυτρωτὴν εὐλογοῦντες·
« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,

---

223 θράσει Cs 224 κατετολμήσαντες P 228-234 θεοτ. om. P
heirm. η' EE 219, n. 314, Joannis 241 ἀεὶ ἀναβοᾶτε P

λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

245 Ῥώμῃ τοῦ θείου πνεύματος
τοῦ πάντα μεταπλάττοντος
θῆρες ὑπετάγησαν ὑμῖν ἀνήμεροι
καὶ ἔφριξαν τύραννοι
καὶ ὁ Χριστὸς δεδόξασται
250 καὶ ἡ τῶν εἰδώλων τελετὴ ἀπεπαύθη,
ὑμεῖς δέ, ἀθλοφόροι,
ἐκτενῶς ἐβοᾶτε·
« λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

255 Τοῖς τῶν σωμάτων τραύμασι
καὶ τομαῖς τῶν ἁγίων μελῶν
ἄσαρκον ἐχθρὸν οἱ ἀθληταὶ κατέκοψαν
καὶ τούτου τὰς φάλαγγας
f. 21v || τὰς ἀσωμάτους ἔτρεψαν,
260 τῷ δημιουργῷ καὶ λυτρωτῇ ἐκβοῶντες·
« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. 265 Ὁ ἐκ μὴ ὄντων ἅπαντα
τῷ λόγῳ συστησάμενος,
τὴν καταφθαρεῖσαν τῶν βροτῶν ἐκ σοῦ ἀληθῶς
μορφὴν ἐνεδύσατο
δι' εὐσπλαγχνίαν, ἄχραντε,
270 ἵνα ἀναπλάσῃ, ὡς θεὸς εὐεργέτης,
αὐτήν, ἀναβοῶσαν·
« ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

---

245 Ῥοπῆ P, νεύματος Cs   259 ἔτριψαν Cs   260 τὸν δημιουργὸν καὶ λυτρωτὴν P

ᾠδὴ θ'. Ἔφριξε πᾶσα ἀκοὴ

275 Ὕψωσας, δέσποτα Χριστέ,
τῇ ἐνθέῳ ταπεινώσει τοὺς μάρτυρας
καὶ ἐταπείνωσας
τὴν ἐπηρμένην ὀφρὺν τοῦ ὄφεως
καὶ τῷ θανάτῳ τῆς σαρκὸς
280 ἀείζωον δέδωκας
τούτοις κατάπαυσιν,
σὺν ἀγγέλοις ἀνυμνοῦσι τὸ κράτος σου.

Ῥέπουσαν πᾶσαν τοῦ ἐχθροῦ
τὴν παράταξιν εἰς πόλεμον ἄσπονδον
285 καθ' ὑμῶν, ἅγιοι,
τῇ συμμαχίᾳ Χριστοῦ ἐτρέψατε
καὶ τῇ ἀόπλῳ συμπλοκῇ
ὅπλα συνετρίψατε
τῶν πολεμούντων ὑμᾶς
290 καὶ βραβεῖα τὰ τῆς νίκης ἐπλέξασθε.

Ὤφθητε στῦλοι ἀρραγεῖς
καὶ θεμέλιοι τῆς πίστεως, ἅγιοι·
ἀλλ' ἱκετεύσατε
τὸν ἀσαλεύτως ὑμᾶς ἑδράσαντα,
295 Χριστὸν τὸν μόνον δυνατόν,
τὸν σάλον καὶ κλύδωνα
τῆς ἐκκλησίας αὐτοῦ
καταπαῦσαι καὶ εἰρήνην βραβεῦσαι αὐτῇ.

Νάμασι χάριτος ἡμᾶς
300 καὶ θαυμάτων ταῖς ῥοαῖς κατηρδεύσατε,
Πρόβε καὶ Τάραχε
σὺν Ἀνδρονίκῳ τῷ θεοκήρυκι,
τοὺς εὐφημοῦντας εὐσεβῶς

---

heirm. θ' EE 222, n. 317, Joannis   281 κατάπασιν P   283 Ῥεποῦσαν P
288 ὅπλω P   290 ἐπλέξασθε] ἐλάβετε P   294 ἑδράσαντε P

καὶ πόθῳ δοξάζοντας
305 ὑμῶν τὴν ἄθλησιν
καὶ Χριστὸν εἰλικρινῶς μεγαλύνοντας.

θεοτ. Ὕψωσον, δέσποινα, ἐκ γῆς
τῆς ψυχῆς μου τὸ χαμαίζηλον φρόνημα
πρὸς τὸν ὑπέρφωτον
310 καὶ θεῖον πόθον τοῦ σοῦ υἱοῦ καὶ θεοῦ,
f. 22 || ἵνα, τῷ ἔρωτι αὐτοῦ
ἀεὶ πυρπολούμενος
καὶ ἀλλοιούμενος,
πρὸς αὐτὸν δι' ἀρετῆς ἀναφέρωμαι.

---

306 εἰλικρινεῖς μεγαλύνοντα Cs

XIV

13 OCT. *CANON XV*

IN SANCTOS CARPUM, PAPYLUM ET SOCIOS MARTYRES

Synaxarium, 133-135: Ἄθλησις τῶν ἁγίων μαρτύρων Κάρπου καὶ Παπύλου, Ἀγαθοδώρου καὶ Ἀγαθονίκης. Οὗτοι ὑπῆρχον ἐπὶ Δεκίου βασιλέως ἰατροὶ τὴν τέχνην. Καὶ ὁ μὲν ἅγιος Κάρπος ἐπίσκοπος τῆς Περγαμηνῶν ἐκκλησίας ..... Ὁ δὲ Πάπυλος διάκονος ὑπὸ τοῦ Κάρπου χειροτονεῖται..... Κρατηθέντες..... καὶ ὁμολογήσαντες τὸν Χριστόν, προσεδέθησαν ἵπποις καὶ περιεπάτουν ἔμπροσθεν τοῦ ἄρχοντος συρόμενοι πρὸς τὰς Σάρδεις κἀκεῖ κρεμασθέντες ἐπὶ ξύλων ἐξέοντο. Ὁ δὲ Ἀγαθόδωρος, δοῦλος ὢν τοῦ ἁγίου Παπύλου καὶ ἀκολουθῶν αὐτῷ, διὰ ῥάβδων ὑπερβολικῶς τυφθεὶς ἐτελειώθη. Κρεμάμενος δὲ ὁ ἅγιος Κάρπος..... Εἶτα καταβιβασθέντες ἀπὸ τῶν ξύλων, ἐνεβλήθησαν εἰς τὸ πῦρ. Παροῦσα δὲ ἡ ἀδελφὴ τοῦ Παπύλου, Ἀγαθονίκη, καὶ ἰδοῦσα τὸν ἀδελφὸν πρὸς τὸ πῦρ ἀνδρισάμενον καὶ τὴν γυναικείαν ἀσθένειαν μετὰ τῶν ἱματίων ἀπορρίψασα, ἐφήπλωσε καὶ αὐτὴ ἑαυτὴν ἐπὶ τοῦ πυρός· καὶ ἀμφότεροι παρέδωκαν τὰ πνεύματα αὐτῶν τῷ Κυρίῳ.

Crypt. Δ.α. II	= Cr,	ff. 43ᵛ-46ᵛ
Crypt. Δ.α. XXXII	= Ct,	ff.
Vallic. gr. B 22	= E,	ff. 127-129
Vat. gr. 1508	= Vf,	ff. 35ᵛ-37ᵛ
Vat. gr. 2270	= Vg,	ff. 110-111ᵛ
Mess. gr. 135	= N,	ff. 91-95ᵛ
Paris. gr. 13	= Q,	ff. 108-108ᵛ
Sabait. gr. 41	= Jd,	ff. 76ᵛ-77ᵛ
Sabait. gr. 73	= Je,	ff. 110-114
Sinait. gr. 563	= Σχ,	ff. 16ᵛ-19
Sinait. gr. 580	= Σψ,	ff. 137ᵛ-140

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Κάρπον τε καὶ Πάπυλον ᾄσμασιν στέφω· ὁ Ἰωσήφ.

Ἦχος α'.

ᾠδὴ α'. *Σοῦ ἡ τροπαιοῦχος δεξιά*

Κάρπου καὶ Παπύλου τῶν στερρῶν
τῆς ἀληθείας μαρτύρων γεραίροντες
μνήμην τὴν πανίερον,
τὸν νικητὰς αὐτοὺς ἀπεργασάμενον,
5 κύριον τῆς δόξης,
θεοπρεπῶς ἀνυμνήσωμεν.

Ἀσκήσεως πρότερον πυρὶ
δοκιμασθέντες, ἀθλήσει τὸ δεύτερον,
μάρτυρες, ἐδείξατε
10 τὸ τῆς ψυχῆς ὡς ἀληθῶς δοκίμιον
καὶ ὑπὲρ χρυσίον
ἐνθέοις τρόποις ἐλάμψατε.

Ῥώμῃ θεϊκῇ πρὸς αἰκισμούς,
πρὸς ἀναρτήσεις, πρὸς πῦρ καὶ πρὸς θάνατον,
15 ἔνδοξοι, χωρήσαντες,
τῶν διωκτῶν ἰσχὺν κατεπαλαίσατε
καὶ τῆς ἀφθαρσίας
τὸ στέφος συνανεδήσασθε.

θεοτ. Πύλη τοῦ φωτὸς τοῦ ἐκ τῆς σῆς
20 ἀδιαφθόρου νηδύος ἐκλάμψαντος,
λάμψον μετανοίας μοι
φωτιστικὰς ἀκτῖνας καὶ ἀπέλασον
τῶν ἁμαρτιῶν μου
τὸν ζόφον, θεοχαρίτωτε.

---

tit. et acr. om. Vg
heirm. α' EE 1, n. 1, Joannis 1 τὸ στερρὸν E 4 τοὺς ἀπεργασάμενος Vg 6 ὑμνήσωμεν πάντες σήμερον Q 9 ἐδείχθητε E ἐδείδαξαν Vg 10 τὸν N 12 ἐλάμψατε] ἠστράψατε E Vf Vg N Q Jd Je Σψ 18 συνανεδύσασθε E Vg 20 ἀδιαφθόρως E Vf N

ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι θεὸς ἐγώ εἰμι
ὁ δουλωθέντα τὸν λαὸν τοῦ Ἰσραήλ

25 * Οὐ παρετράπητε
θύειν εἰδώλοις, ἅγιοι,
τῇ προτροπῇ τῶν δυσσεβῶν,
ἀλλὰ εὐχῇ συντονωτάτῃ πρὸς θεὸν
ἐλεπτύνατε ταῦτα,
30 στηλιτεύσαντες αὐτῶν τὴν ματαιότητα.

* Νόμον φυλάττοντες
θεαρχικὸν οἱ μάρτυρες,
f. 44 ‖ τὰ περικείμενα κλοιὰ
καὶ τὰς ἁλύσεις ὥσπερ κόσμον εὐπρεπῆ
35 περιφέροντες, ὕμνουν
ὁμοφρόνως τὸν αὐτοὺς ἐνδυναμοῦντα Χριστόν.

* Τὴν πρὸς αὐτὸν ὑμῶν
στοργὴν θεὸς ἀγάμενος,
ἀγγελικαῖς ὡς ἀληθῶς
40 ἐπιφανείαις ἐγκελεύεται θαρρεῖν
καὶ προσκαίρου θανάτου
εὐχερῶς καταφρονεῖν διὰ τὴν ὄντως ζωήν.

θεοτ. * Ἔγνωμεν, κύριε,
ὅτι θεὸς ὢν ἄναρχος
45 ἀρχὴν ἠνέσχου προσλαβεῖν
καὶ ἐκ παρθένου προελθεῖν δίχα τροπῆς,
ἣν ἐφύλαξας πάλιν
ἀδιάφθορον, ἁγνὴν καὶ μετὰ γέννησιν.

---

odem β' omittunt E Vf N Q Je Σψ, quam autem ed. Papadopoulos-Kerameus in Viz. Vrem. I, 376
heirm. β' EE 13, n. 17, Andreae heirm. 2 θεὸς] αὐτὸς EE 30 στυλητεύσαντες Vg 35 ὕμνον Vg 39 ἀθανάτων ἀληθῶς Vg 42 ὄντως] πάντων Cr Ct 46 προελθὼν Vg

ᾠδὴ γ'. *Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν*

Κάρπωμα προσήξατε Χριστῷ
50 δεκτὸν καὶ ἱερώτατον
τὸν ἱερόν, σοφοί, Ἀγαθόδωρον,
πληγαῖς μαστίγων ἐγκαρτερήσαντα
καὶ καταπαλαίσαντα
δυσμενῆ ἀσώματον
55 μετὰ σώματος γνώμης στερρότητι.

Ἀδίκως στρεβλούμενος, σοφέ,
προστάξει τοῦ δικάζοντος
καὶ τὰς πλευρὰς ξεόμενος ἔφερες,
πυρὶ δὲ αὖθις ὑποκαιόμενος,
60 ταῖς ῥοαῖς τοῦ αἵματος
τοὺς τῆς πλάνης ἄνθρακας
ἐναπέσβεσας, Κάρπε πολύαθλε.

Ἰδεῖν ἐφιέμενος Χριστὸν
κρεμάμενος μετέωρος
65 καὶ τῷ πυρὶ τὰ στέρνα φλεγόμενος
γενναίως φέρεις, θεόφρον Πάπυλε,
δρόσῳ τῇ τοῦ πνεύματος
σαφῶς δροσιζόμενος
καὶ ἐνθέοις ἐλπίσι νευρούμενος.

f. 44ᵛ θεοτ. 70 * ‖ Παστάδα ἀμόλυντον θεοῦ
καὶ ὄρος ἀλατόμητον
καὶ κιβωτὸν ἁγίαν καὶ τράπεζαν
πιστοί σε πάντες, ἁγνή, κηρύττομεν
καὶ θυμιατήριον
75 τοῦ ἀΰλου ἄνθρακος,
παναγία παρθένε πανάμωμε.

---

heirm. γ' EE 1, n. 1, Joannis 51 Ἀγαθόδωρον] ἀγαθόνικον Cr Ct 52 πληγὰς μαρτύρων Jd πληγαῖς μαρτύρων Je πληγὰς μαστίγων Σψ 55 γνώμη Vg 58 ζεόμενος Cr Ct 70-76 θεοτ. ed. Bessar. 4 (1903), 335 76 πανάμωμε] ἀμόλυντε Vg θεόνυμφε Q

---

72 Ps. 131,8; Ex. 25,23; Hb. 9,2-3 74 Hb. 9,4

Κάθισμα.

Ἦχος γ'. *Θείας πίστεως*

Δεῦτε, ἅπαντες πιστοί, συμφώνως
εὐφημήσωμεν τοὺς ἀθλοφόρους
Κάρπον καὶ Πάπυλον ὁμοῦ
καὶ Ἀγαθόδωρον,
5 τοὺς τῶν τυράννων τὰ θράση νικήσαντας
καὶ τῶν εἰδώλων τὴν πλάνην
πατήσαντας· διὸ πρεσβεύουσι
Χριστῷ τῷ θεῷ ἑκάστοτε
δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

ᾠδὴ δ'. *Ὄρος σε τῇ χάριτι τῇ θείᾳ κατάσκιον*

Ἀλύτῳ δεδεμένος ἀγάπῃ τοῦ κτίσαντος,
λιθολευστούμενος, σοφὲ
Πάπυλε μάρτυς τοῦ Χριστοῦ,
80 ἐνίκας τοὺς βάλλοντας
ὑπομονῇ θεοδωρήτῳ, πανεύφημε,
ἀνδρειοφρόνως τῷ φθόνῳ μαχόμενος.

Πρὸς πᾶσαν ἰδέαν ἀλγεινῶν, γενναιότατοι,
παραταξάμενοι, θηρσὶ
85 καθυπεβλήθητε ὁμοῦ
αὐτοὺς τροπωσάμενοι
ὡς Δανιὴλ ἐνθέοις ὅπλοις τῆς πίστεως,
Κάρπε καὶ Πάπυλε, μάρτυρες ἔνδοξοι.

Ὑπάρχων κακίας εὑρετής, ὁ παμπόνηρος
90 τοὺς τοῦ Χριστοῦ θεραπευτὰς
ἀνηλεῶς τῇ καυστικῇ

κάθ. tantum Cr profert
heirm. δ' EE 1, n. 1, Joannis 77 ἀγάπη δεδεμένος Vg 80 ἐνίκησας Jd 82 τοῦ φθόνου Vg 83 ἀλγεινὴν N, γενναιότατα Q Je 88 καὶ μελωδοῦντες δόξα τῇ δυνάμει N 89-94 troparium om. N 89 ὁ παράνομος Je

---

83-87 Dan. 6, 22-23

ἀσβέστῳ προδίδωσιν
ὑποχαλᾶν αὐτῶν τὸν τόνον οἰόμενος,
ἀλλ' ἐτεφρώθη αὐτοῦ τὰ βουλεύματα.

θεοτ. 95 Λιμένα σωτήριον, παρθένε, σὲ ἔχοντες
οἱ ἐν πελάγει τῶν δεινῶν
κλυδωνιζόμενοι, ἀεὶ
πρὸς σὲ καταφεύγομεν
καὶ ἐπὶ σοὶ ἐλπίζοντες οὐ πτοούμεθα
100 τῶν δυσμενῶν πονηρὰ τὰ βουλεύματα.

ᾠδὴ ε'. *Ὁ φωτίσας*

Οὐ κίνδυνος,
διωγμός, οὐ λιμός, οὐδὲ θάνατος
ἐχώρισε
τῆς ἀγάπης Χριστοῦ τοὺς θεόφρονας,
105 ἀλλά, προθυμότατα
τὰς ἀντιδόσεις προορῶντες,
τῶν δυσχερῶν κατεφρόνησαν.

f. 45 ‖ Νευρούμενοι
θεϊκῇ δυναστείᾳ, ἠνέγκατε
110 ὀξυτάτων
διατρήσεις κρηπίδων, πανεύφημοι,
ὁδὸν πορευόμενοι
τοῦ μαρτυρίου καὶ τὰ κέντρα
τῆς ἀθεΐας συντρίβοντες.

115 Ἀνύστακτον
τὸν πυρσὸν τῆς ἀθλήσεως φέροντες,
παρέδραμον
ἀγνωσίας τὴν νύκτα οἱ μάρτυρες,

99 οὐ πτωούμενοι E 100 πονηρὰ τὰ βουλεύματα] τὰ θεινὰ βουλευτήρια Vf heirm. ε' EE 1, n. 1, Joannis 111 πανεύφημοι] μακάριοι Ω 113 μαρτυρίου] μυστηρίου Vg 118 ἀγνωσία N

καὶ φωτὶ προσήγγισαν
120 τῷ ἀνεσπέρῳ ὡς ἡμέρας
ὄντες υἱοὶ διὰ πίστεως.

θεοτ. Συνέλαβες
ἀπειράνδρως θεὸν ἀπερίληπτον,
ἐκύησας
125 ὑπὲρ φύσιν τὸν πλάστην τῆς φύσεως,
μέγα τὸ μυστήριον,
ἀκατανόητον τὸ θαῦμα,
παρθένε μόνη πανάμωμε.

ᾠδὴ ϛ'. *Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος*

Μυρίζουσιν ὑμῶν τὰ προτερήματα
130 ἀνθρώπων τὰ συστήματα,
δυσωδίαν ἀπελαύνοντα σαφῶς
τῆς πολυθεΐας, ἀξιάγαστοι·
καὶ γὰρ θεοῦ
νῦν εὐωδία, μάρτυρες, ὤφθητε.

135 Ἀνάπτουσαν πυρὰν δρόσῳ τῆς πίστεως
ἐσβέσατε, μακάριοι,
καὶ ἐξήψατε τὸν ἔρωτα θερμῶς
τῆς Ἀγαθονίκης συμπαρούσης ὑμῖν,
τοὺς εὐκλεεῖς
140 μεθ' ἧς ἀνδρείως ἄθλους ἠνύσατε.

Στομούμενοι πυρὶ καὶ λιπαινόμενοι
τῶν πόνων ἐπιδόσεσι,
Κάρπε, Πάπυλε, γενναῖοι ἀθληταί,
ξίφη ἀληθῶς οὐρανοχάλκευτα
145 τῶν δυσμενῶν
τὰς παρατάξεις ὤφθητε τέμνοντα.

120 τοῦ ἀνεσπέρου Vg 128 παρθενομῆτορ Ω heirm. ϛ' EE 1, n. 1, Joannis 131 σαφῶς] παθῶν Σχ 135 τῆς] τοῦ E 138 ἡμῖν E Vg 146 τέμνοντες Cr Ct

θεοτ. Ἰλύος ἐκ παθῶν, ἀπὸ βαράθρων με
συμπτώσεων ἀνάγαγε
καὶ κυβέρνησον τὸν δοῦλόν σου ἀεὶ
f. 45v 150 ‖ τὸν ὁμολογοῦντα θεοτόκον σε·
σὺ γὰρ ἀεὶ
καταπιπτόντων ἡ ἐπανόρθωσις.

Κάθισμα.

Ἦχος α'. *Τοῦ λίθου σφραγισθέντος*

Καρποὺς θεογνωσίας
γεωργήσας τοῖς πόνοις σου,
προρρίζους ἀθεΐας
ὑπεξέτεμες σκόλοπας
5 καὶ χρίσματι χρισθεὶς θεουργικῷ
ἐποίμανας λαόν, ἱερουργέ,
καί, νομίμως ἐναθλήσας,
διπλῶν βραβείων, Κάρπε, κατηξίωσαι·
δόξα τῷ δεδωκότι σοι ἰσχύν,
10 δόξα τῷ στεφανώσαντι, δόξα
τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Ἄλλο. *Τὸν τάφον σου, σωτήρ,*

Ἁγνείᾳ λαμπρυνθεὶς
καὶ πλουτήσας τὸν ζῆλον
Στεφάνου τοῦ σοφοῦ,
τῶν μαρτύρων ἐξάρχου,
5 διάκονος καὶ μέγιστος

---

147 Ἠλύος Vf 148 συμπτώσεως N 149 ἀεὶ] ἁγνὴ E Vg Vf N Q
150 τῶν ὁμολογούντων Vg 151 καὶ γὰρ σὺ εἶ Q
κάθ. om. E Vf N Q Jd Je Σχ Σψ
heirm. καθ. ed. HC, 17 κάθ. 4 ὑφεξέτεμες
alterum κάθ. om. Vf Q Jd Je Σχ Σψ; quod autem E et Vg idem collocant post odem γ'
heirm. καθ. ed. Christ Paranikas, 54 κάθ. 1 Ἀγνοία Vg Ἀκτῖσι N
2 κατεπλούτησας ὄντως N 3 στεφάνους τοὺς λαμπροὺς N 4 om. N

κάθ. ἄλλο 1-4 Act. 7,54-60

μάρτυς γέγονας, Πάπυλε,
πῦρ καὶ βάσανα
καθυπομείνας γενναίως·
ὅθεν σήμερον
10 τὴν παναγίαν σου μνήμην
τιμῶντες ὑμνοῦμέν σε.

ᾠδὴ ζ'. *Σὲ νοητήν,*
θεοτόκε, κάμινον

Νεανικῶς
τῶν παθῶν τὴν κάμινον
155 τῆς ἐγκρατείας δροσισμῷ
κατασβέσαντες μὲν τὸ πρίν,
αἵμασιν ἀθλήσεως,
μάρτυρες, τὸ δεύτερον
εἰδωλικὴν πυρὰν ἐτεφρώσατε,
160 τὸν αἰνετὸν ἀνυμνοῦντες
θεὸν τὸν ὑπερένδοξον.

« Στῶμεν· ἰδού,
ἤνοικται τὸ στάδιον,
μὴ ἀποκάμωμεν· Χριστὸς
165 τοὺς στεφάνους τοῖς δι' αὐτὸν
βάσανα προφέρουσιν
ἄνωθεν προτείνεται
ζωαρχικῇ χειρί », ἀνεκραύγαζον
οἱ ἀθληταὶ θαρσαλέᾳ
170 ψυχῇ Κάρπος καὶ Πάπυλος.

Τῇ πρὸς θεὸν
ὁλοτρόπῳ, ἅγιοι,
νεύσει θεούμενοι σαφῶς,
f. 46 ‖ τῶν ἀθέων τοὺς αἰκισμοὺς
175 ῥᾷον ὑπεφέρετε

---

heirm. ζ' EE 1, n. 1, Joannis 153 Νεαγνικῶς Vf 156 μὲν τὸ πρὶν] πρὶν ὑμεῖς Q 165 τοῖς] τοὺς Vf Vg 166 προσφέρουσιν Vg 175 ῥάως Jd Σχ ῥάθως Σψ, ὑποφέρετε E N ὑπὲρ φέρεται Vg

---

162-168 Locus communis in martyriis

ὥσπερ ἄλλου πάσχοντος
ὡς ἀληθῶς αὐτοὶ διακείμενοι,
τὸν αἰνετὸν ἀνυμνοῦντες
θεὸν τὸν ὑπερένδοξον.

θεοτ. 180 Εὔας, ἁγνή,
τῆς ἡμῶν προμήτορος
κατάραν ἔλυσας σαφῶς,
εὐλογίας τὴν ἀπαρχὴν
τέξασα, πανάμωμε
185 κόρη ἀπειρόγαμε,
ὃν εὐλογοῦσι τάξεις οὐράνιαι,
τὸν αἰνετὸν τῶν πατέρων
θεὸν καὶ ὑπερένδοξον.

ᾠδὴ η'. *Ἐν καμίνῳ παῖδες Ἰσραὴλ*

Φωτοφόρος σήμερον ἡμῖν
190 ἡ μνήμη τῶν μαρτύρων
τῷ φέγγει τῶν ἰαμάτων
καταυγάζουσα ἡμᾶς
βοῶντας ἐξέλαμψεν·
« εὐλογεῖτε πάντα τὰ ἔργα,
195 τὸν κύριον, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

Ὡραιώθης ὡς ἀρχιερεύς,
ὡς θεῖος ὑποφήτης,
200 ὡς μάρτυς, τῶν παθημάτων,
παμμακάριστε, Χριστοῦ
ὡς θεῖον ἐκσφράγισμα,
ἀναμέλπων, Κάρπε παμμάκαρ·

177 αὐτῶ N 182 κατάρας E 188 καὶ] τὸν P
heirm. η' EE 1, n. 1, Joannis 201 παμμακάριστοι Vg 203 παμμάκαρ] ἐνθέως P Je

180-182 Gen. 3,15-16

« τὸν κύριον ὑμνεῖτε
205 καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

Οἱ κρουνοί σου τῶν ἀθλητικῶν
αἱμάτων τοὺς χειμάρρους
τελείως τῆς ἀθεΐας
210 κατακλύσαντες, πηγὴ
ἰάσεων ὤφθησαν
τοῖς βοῶσι, Πάπυλε μάρτυς·
« τὸν κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
215 αὐτὸν εἰς τοὺς αἰῶνας ».

θεοτ. Ἱερός σε θείων προφητῶν
χορὸς ἀνακηρύττει
μητέρα γενησομένην,
παναμώμητε, θεοῦ,
220 ᾧ πάντες κραυγάζομεν·
« εὐλογεῖτε πάντα τὰ ἔργα,
τὸν κύριον, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Τύπος τῆς ἁγνῆς λοχείας σου*

225 Ὥσπερ προσφοραὶ ὁλόκληροι,
ὡς ἱερεῖα τέλεια καὶ ἀμώμητα
f. 46v || προσηνέχθητε
τῷ ποιητῇ, παμμακάριστοι,
διὰ ξίφους τὸ τέλος δεξάμενοι
230 καὶ νῦν στεφανηφόροι
τοὺς οὐρανοὺς περιπολεύετε.

210 καταλύσαντες N 212 Πάπυλε et cetera om. Vg P 216 Ἱερῶς E N Vg Vf 217 χορὸς] χαρὰς N
heirm. θ' EE 1, n. 1, Joannis heirm. 1 Τύπον . . . λογχείας EE
231 πρὸς οὐρανὸν Jd

216-218 Js. I 3-7,14; Mich. 5,2

Στῦλοι ἀρραγεῖς ἐδείχθητε
τῆς ἐκκλησίας, μάρτυρες, καὶ προπύργια,
κρήνη ποταμοὺς
235 τῶν ἰαμάτων προχέουσα
καὶ πυρσοὶ διαυγεῖς καὶ ὁλόφωτοι
νυκτὸς ἐξ ἁμαρτίας
τοὺς εὐσεβεῖς ἀπολυτρούμενοι.

Ἤδη πρὸς αὐτὰ σκηνώσαντες
240 τὰ φωταυγῆ σκηνώματα καὶ οὐράνια
καὶ μαρμαρυγαῖς
ταῖς θεϊκαῖς ἐλλαμπόμενοι
καὶ χαρᾶς ἀενάου πληρούμενοι,
ὦ Πάπυλε καὶ Κάρπε,
245 ὑπὲρ ἡμῶν καθικετεύσατε.

θεοτ. Φέρεις ἐν ἀγκάλαις, πάναγνε,
χερουβικὸς ὡς θρόνος τὸν πάντα φέροντα,
σάρκα δι' ἡμᾶς
τὸν καθ' ἡμᾶς περικείμενον
250 καὶ διπλοῦν τὸν ἁπλοῦν καθορώμενον,
ὃν πάντοτε δυσώπει
ὑπὲρ ἡμῶν τῶν ἀνυμνούντων σε.

---

234 κρίνη E Vf 235 προχέουσα] πηγάζεται Vg 236 πυρσοὶ] πυροῦ Vg
245 καθικετεύσατε] τῶν ἀνυμνούντων σε Cr Ct, ὑπὲρ ἡμῶν Χριστῷ πρεσβεύοντες Jc
247 χερουβικῶς Cf Vg 249 τὸν] τὴν Q Jd Σψ

IN SANCTOS CARPUM, PAPYLUM ET SOCIOS MARTYRES

Paris. gr. 1619 = P, ff. 97ᵛ-99
Barber. gr. 535 = B, ff. 128-130
Sinait. gr. 562 = Σφ, ff. 68-70

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Κάρπος Παπύλῳ συγγεραιρέσθω λόγοις. ⟨Γεωργίου.⟩

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

Καρποὺς με δικαιοσύνης, κύριε,
καὶ καθαρότητος
καὶ ἀρετῶν δεκτὰς τὰς ἀπαρχὰς
σοὶ προσοῖσαι ἀξίωσον,
5 ὅπως σὺν ταῖς χορείαις σε
δοξολογήσω τῶν ἁγίων σου.

Ἀΰλων ἐν ὑλικοῖς τοῖς σώμασι
τὸν βίον, ἅγιοι,
προησκηκότες, τοῦτον ἐμφανῶς
10 ἐν ἀγῶσιν ἐδείξατε,
ὑπερφυῶς ἀθλήσαντες
καὶ ὑπὲρ λόγον καρτερήσαντες.

Ῥανίσι ταῖς τῶν αἱμάτων ἤρδευσας,
σοφέ, τοὺς αὔλακας
15 τῆς ἐκκλησίας, Κάρπε, νοητῶς

---

tit. acr. om. B; nomen Γεωργίου e theotociis deducitur
heirm. α' EE 94, n. 133, Joannis 3 δεκτὸν B 4 προσοῖσαι] προσάξαι B Σφ 5 σὺν ... σε] νῦν ταῖς χορίαις σου B 7 Ἄυλον P 9 τούτω B Σφ

καὶ τὸν σπόρον ἐπηύξησας
τῆς εὐσεβείας, ὅσιε,
ὃν τῷ δεσπότῃ συνεκόμισας.

Πρὸς ὕψος ἀναδραμὼν τῆς γνώσεως
20 τοῦ ποιητοῦ καὶ θεοῦ,
ταῖς μυστικαῖς λαμπρότησιν αὐτοῦ
κατελάμφθης ὡς Στέφανος
ὁ πρωτομάρτυς, Πάπυλε,
ἐν τοῖς ἀγῶσι τῆς ἀθλήσεως.

θεοτ. 25 Γνωρίσαι τοῖς ἐπὶ γῆς ὁ κύριος
τῆς ἀγαθότητος
καὶ οἰκτιρμῶν τὸν πλοῦτον βουληθείς,
διὰ σοῦ ἀνεκάλυψε
τοῦτον, ἁγνή, καὶ ἅπαντας
30 εἰς μετοχὴν αὐτοῦ ἐκάλεσεν.

ᾠδὴ β'. *Δῶμεν μεγαλωσύνην*

Οἱ ἀσάλευτοι πύργοι
τοῦ κηρύγματος τῆς πίστεως,
ἑδραιωθέντες ἐπὶ τὴν πέτραν
τῆς ἀληθείας,
35 ἐσάλευσαν βωμούς.

Σωμάτων διαιρέσει
τῆς Χριστοῦ οὐ διῃρέθητε
ὁμολογίας, ἱερομῦσται,
ὑπὲρ αὐτῆς
40 ἐναθλοῦντες καρτερῶς.

Πυρὶ τῆς ἀληθείας
τὴν τοῦ ψεύδους κατεφλέξατε

17 ἀσεβείας P 19-24 troparium om. P B 25-30 θεοτ. om. P
odes β' tantum Σφ praebet
heirm. β' ΕΕ 94, n. 133, Joannis

22-23 Act. 7,58-60

πλάνην καὶ πᾶσι
τῆς ἀληθείας
45 τὸν φωτισμὸν ἐφηπλώσατε, σοφοί.

Αἵμασιν ὥσπερ μύροις
σὺν Παπύλῳ Κάρπος σήμερον
τὴν ἐκκλησίαν
τῶν εὐσεβούντων
50 εὐωδιάζουσι χάριτι Χριστοῦ.

θεοτ. Ἐλύθημεν τῆς πρώτης
καταδίκης καὶ συνήφθημεν
τῇ δικαιώσει
τῇ τοῦ υἱοῦ σου
55 οἱ θεοτόκον τιμῶντές σε, ἁγνή.

ᾠδὴ γ'. *Εὐφραίνεται ἐπὶ σοὶ*

Πρὸς ὕψος τῆς ἀληθοῦς
f. 98 ὁμολογίας τοῦ Χριστοῦ φθά‖σαντες,
τῆς χαμαιζήλου, σοφοί,
πλάνης τὴν μανίαν ἐφύγετε.

60 Ὑπέταξαν νοητοὺς
καὶ ὁρωμένους οἱ σοφοὶ μάρτυρες
θῆρας, Χριστὸν ἔχοντες
τὸν ἀεὶ ἐν τούτοις φθεγγόμενον.

Λατρείαν τὴν ἀληθῆ
65 ἀποδιδόντες τῷ θεῷ, ἅγιοι,
καὶ λογικὰ θύματα
τούτῳ ἑαυτοὺς προσηγάγετε.

heirm. γ' ΕΕ 94, n. 133, Joannis 56 τῆς om. B 59 μανίαν] ἀπάτην B 62 Χριστοῦ Σφ 63 τὸν] τὴν B 67 τούτου . . . προσηνέγκατε B Σφ

θεοτ. * Ἐσχίσθη τὸ τῆς ἀρᾶς
καὶ παραβάσεως τῆς πρίν, δέσποινα,
70 διὰ τῆς σῆς, ἄχραντε,
θείας μεσιτείας χειρόγραφον.

ᾠδὴ δ'. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία*

Ὡς θυμίαμα εὐῶδες ἀναδειχθέντες
διὰ πυρὸς ἀθλήσεως
Χριστῷ, ἀθλοφόροι,
75 ἐν αὐτῷ ἡδύνθητε
καὶ μύρα τοῖς πέρασι
τῶν θαυμάτων θεῖα ἐβλύσατε.

Συνεσείσατε ἱδρύματα τὰ τῆς πλάνης
τῇ μηχανῇ τῆς πίστεως
80 καὶ τῆς ἀληθείας
ἄσειστον ἐπήξατε
τὴν βάσιν, ἀοίδιμοι,
Χριστὸν ὑποθέντες θεμέλιον.

Ὑπεισέδυσαν εἰς ἄδυτα μυστηρίων
85 τῶν τοῦ Χριστοῦ καὶ ἄψευστον
Κάρπος σὺν Παπύλῳ
γνῶσιν ὑπεδέξαντο
καὶ πάντας ἐμύησαν
τοὺς πιστοὺς τὸν λόγον τῆς πίστεως.

90 Γεωργήσαντες ἀθλήσεως ἐν τοῖς πόνοις
εὐκλεῶς Ἀγαθόδωρον
σὺν Ἀγαθονίκῃ,
τούτους προσηνέγκατε

68-71 θεοτ. ed. ʼΑΠ (1953), 239; θεοτ. om. P
post odem γ' κάθ. praebet B, f. 128v, quod incipit: Ἁγνείᾳ λαμπρυνθεὶς ... quod idem est in p. 146
heirm. δ' EE 94, n. 133 Joannis   78 τὰ om. B   84 Ὑπεισέδεισαν P, μυστήρια B   90-95 troparium om. B P

69-70 Gen. 3,14-24   71 Col. 2,14; Ti 2,5   83 I Cor. 3,11

Χριστῷ δι' ἀθλήσεως
95 κάρπωμα εὐπρόσδεκτον, ἅγιοι.

θεοτ. * Ὡραιότατος προῆλθεν ὡς ἐκ παστάδος
ὁ τῆς δικαιοσύνης
ἥλιος, παρθένε,
ἐκ σοῦ καὶ ἐφώτισε
100 τὰ σύμπαντα, δέσποινα,
τῇ μετὰ σαρκὸς ἐπιλάμψει αὐτοῦ.

ᾠδὴ ε'. *Σύ, κύριέ μου, φῶς*

* Γνωρίσαντες θεὸν
τὸν τῶν ὅλων οἱ μάρτυρες,
ἠρνήσαντο ἀθείας
105 τὰ σεβάσματα πάντα
καὶ κόσμου τὴν προσπάθειαν.

Ἑάλω ὁ ἐχθρὸς
οἰκείοις μηχανήμασιν,
ὑμεῖς δὲ ὥσπερ ἐκ θήρας,
110 ἀθλοφόροι, ῥυσθέντες
πρὸς Χριστὸν ἀνεδράμετε.

Ῥημάτων ἀληθῶν
ταῖς βολαῖς κατατρώσαντες
τὸ ψεῦδος, ἱερομῦσται,
115 ἀπαράτρωτον πίστιν
Χριστοῦ διετηρήσατε.

θεοτ. * Ῥομφαίαν κατ' ἐχθρῶν
κεκτημένοι σε, ἄχραντε,
τὰς φάλαγγας τῶν πολέμων
120 καὶ παθῶν τυραννίδος
τροπούμεθα τῷ κράτει σου.

96-101 θεοτ. ed. ΑΠ (1953), 239; θεοτ. om. P
heirm. ε' EE 94, n. 133, Joannis   102-105 ed. ΑΠ l.c.   106 καὶ κόσμου] οὐ B   108 οἰκείαις B   109 ὥσπερ] ὡς P   113 ταῖς προσβολαῖς κατατρώσαντες B   κατετρώσατε P   116 Χριστῷ B Σφ   117-121 θεοτ. ed. ΑΠ l.c.; θεοτ. om. PB   119 πολεμίων, sed contra metrum

---

96 Ps. 18,5

f. 98 ‖ ᾠδὴ ϛ΄. *Θύσω σοι*

Ἄνωθεν
ἐκ τοῦ θεοῦ τῶν ὅλων δεξάμενος
ἱερωσύνης τὸ δέρος,
125 τῶν αἱμάτων τοῦτο βαφαῖς ἐνθέοις
ἐποίκιλας
ἀνακηρύττων, Κάρπε, τὸν κτίστην σου.

Ἴσχυσας
ἐν ἐπικήρῳ σώματι, Πάπυλε,
130 τοῖς νοητοῖς ὀφθαλμοῖς σου
κατιδεῖν τὴν ἄφραστον τοῦ δεσπότου
θείαν δόξαν,
ὑπὲρ ἧς καὶ ὁ Στέφανος ἤθλησεν.

Ῥώμῃ σου
135 παντοδυνάμῳ, μόνε φιλάνθρωπε,
οἱ ἀθλοφόροι καθεῖλον
τοῦ ἐχθροῦ τὸ κράτος καὶ ὑπὲρ φύσιν
κατὰ πάσης
τῆς αὐτοῦ πανουργίας, ἠνδρίσαντο.

θεοτ. 140 * Γέγονε
διὰ σοῦ, θεοτόκε, παράδοξα·
οἱ χοϊκοὶ γὰρ πρὸς ὕψος
οὐρανῶν ἀνήχθημεν καὶ ἀγγέλοις
συνήφθημεν,
145 ἐπὶ γῆς τοῦ δεσπότου φανέντος σαρκί.

ᾠδὴ ζ΄. *Ἐν τῇ καμίνῳ*

Ἐν εὐμηχάνῳ
τῷ λογισμῷ νικῶντες τὰς μηχανὰς

heirm. ϛ΄ EE 94, n. 133, Joannis 124 δέρας B Σφ 127 τῷ κτίστῃ B Σφ 134-139 troparium om. P 139 ἠνδρίσαντο Σφ πανόλβιοι PB 140-145 θεοτ. ed. ΑΠ (1953), 239; θεοτ. om. P. 143 ἠνοίχθημεν B heirm. ζ΄ EE 94, n. 133, Joannis 147 μηχανὰς] προσβολὰς B

133 Act. 7,59

πάσας τοῦ ἐχθροῦ, οἱ ἅγιοι τὰς αὐτοῦ
μεθοδείας ἐξεφαύλισαν
150 καὶ τοῦτον ἤλεγξαν
ἀσθενῆ δυναμούμενοι χάριτι.

Σαλευομένην
τὴν οἰκουμένην φόβῳ τῶν διωκτῶν,
θεῖοι κυβερνῆται ὤφθητε νοητῶς
155 ταύτην, ἅγιοι, ἰθύνοντες
ἐπὶ ἀκύμαντον
εὐσεβείας λιμένα καὶ πίστεως.

Θεογνωσίας
καταβαλὼν τὸν σπόρον ἐπὶ τῆς γῆς,
160 Κάρπε, σὺν Παπύλῳ ταύτην τῆς ἀληθοῦς
καρποφόρον ἀνεδείξατε
πίστεως, φέρουσαν
ἀπαρχὰς τοὺς συνάθλους καὶ μάρτυρας.

θεοτ. * Ἰλύος πάσης
165 ἀποκαθαίρουσά με τῆς ἐμπαθοῦς,
κόσμῳ ἀπαθείας σύ με ὡς ἀγαθὴ
κατακόσμησον καὶ φαίδρυνον
τῇ καθαρότητι,
ἵνα πόθῳ δοξάζω σε, δέσποινα.

ᾠδὴ η΄. *Χεῖρας ἐκτετάσας Δανιὴλ*

170 Ὥσπερ ἐν λειμῶνι ἀνθηρῷ
ἐν τῇ καμίνῳ, σοφοί,
περιχορεύοντες,

150 ἤλεγξας P 157 εὐσεβεῖς B 161 ἀνεδείξατο P 164-169 θεοτ. ΑΠ (1953) 239; θεοτ. om. P heirm. η΄ EE 94, n. 133 Joannis

δρόσον ἐδέχεσθε ἄνωθεν
ἐκ θεοῦ τὴν ἀναψύχουσαν
175 καὶ εὐωδίᾳ νοητῇ
ὑμᾶς ἡδύνουσαν
ἐκβοῶντας·
« πάντα τὰ ἔργα τὸν κύριον ὑμνεῖτε ».

Λύχνος φαεινότατος τεθεὶς
180 ἐν μετεώρῳ, σοφέ,
τῆς ἐκκλησίας Χριστοῦ
τὴν κτίσιν ἅπασαν δόγμασι
σὺν Παπύλῳ κατεφώτισας,
ἀκαταπαύστως ἐκβοῶν,
185 Κάρπε, τῷ κτίστῃ σου·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

Ὅπλα συνετρίβησαν ἐχθρῶν
καὶ διελύθησαν
190 τὰ μηχανήματα
τῆς πλάνης, ἅγιοι, ἅπαντα
τῇ ἀνδρείᾳ καὶ στερρότητι
ὑμῶν προσπεσόντα· διὸ
Χριστῷ ἐκράζετε·
195 « εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

θεοτ. * Ὁ ὢν ἐν τοῖς κόλποις τοῦ πατρὸς
υἱὸς καὶ λόγος αὐτοῦ,
δι᾽ ἀγαθότητα
200 ἐκ σοῦ γεγέννηται, δέσποινα,
καὶ ἡμῖν τοῖς ἐπιγνοῦσιν αὐτὸν
ἀναγεννήσεως στολὴν

---

175 εὐωδίαν νοητὴν B   176 ἡμᾶς B   188-196 troparium om. P   197-205 θεοτ. ΑΠ (1953), 239; θεοτ. om. P   198 ἐκ σοῦ, πανάχραντε ᾽ΑΠ. l.c.   200 ἐκ σοῦ] σαρκὶ ᾽ΑΠ. l.c.

179-182 Matth. 5,15; Luc. 18,16

δέδωκε κράζουσιν·
« εὐλογεῖτε
205 πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

f. 99 ‖ ᾠδὴ θ΄. *Λίθος ἀχειρότμητος ὄρους*

Γνώρισμα τῆς χάριτος φέρων,
τῆς ἐν ψυχῇ ἐγκεκρυμμένης,
τὸ περιχαρέστατον εἶδος
τῆς ὁρωμένης θέας σου, Πάπυλε,
210 δι᾽ ἀμφοτέρων ἅπασι
τὸ νοητὸν κάλλος ἐνέφαινες.

Ὅλην διαβὰς τὴν ὁμίχλην
τῶν φαινομένων, ἱεράρχα,
πρὸς αὐτὸ τὸ ἄδυτον φάος
215 τῆς ἀπροσίτου τριάδος ἔφθασας,
ὑφ᾽ οὗ νῦν ἐλλαμπόμενος,
Κάρπε, φωτίζεις τοὺς τιμῶντάς σε.

Ἰσχὺς καθῃρέθη τυράννων
καὶ καταλέλυται τῆς πλάνης
220 πᾶσα μεθοδεία τῷ κράτει
καὶ τῇ δυνάμει τοῦ παντοκράτορος
Χριστοῦ καὶ ἀνυψώθητε
τῇ συνεργίᾳ τῇ τοῦ πνεύματος.

Σὺν Παπύλῳ αἴτησαι, Κάρπε,
225 Ἀγαθοδώρῳ τε τῷ θείῳ
καὶ Ἀγαθονίκῃ τὸν κτίστην

---

heirm. θ΄ ΕΕ 94, n. 133, Joannis   207 ἐγκεκραμένης B   208-209 om. B   210 διαφοτέρων ἅπασαν P   211 τὸν B   214 φάος] φῶς B   215 ἀπροσίτους σου B   223 τῇ τοῦ πνεύματος] τούτου ἅγιοι B   224-229 om. PB sed tantum Σφ praebet

τῇ ἐκκλησίᾳ αὐτοῦ δωρήσασθαι
εἰρήνην καὶ ὁμόνοιαν
καὶ σωτηρίαν τοῖς τιμῶσιν ὑμᾶς.

θεοτ. 230 Ὑμνῶ σου τὴν χάριν, παρθένε,
καὶ μεγαλύνω σου τὸν τόκον·
σὺ γὰρ φωτισμὸς τῆς ψυχῆς μου
ὑπάρχεις ὄντως καὶ ἡ παράκλησις,
ἡ ταχινὴ βοήθεια
235 τῶν σὲ ποθούντων πάντων δούλων σου.

---

235 ποθούντων ...] ὑμνούντων μητροπάρθενε B

XVI

IN SS. NAZARIUM, GERVASIUM, PROTASIUM ET CELSIUM

Synaxarium, 137-138: Ἄθλησις τῶν ἁγίων μαρτύρων Ναζαρίου, Γερβασίου, Πρωτασίου καὶ Κελσίου. Οὗτοι οἱ ἅγιοι μάρτυρες ὑπῆρχον ἐπὶ Νέρωνος τοῦ βασιλέως ἐν τῇ Ῥώμῃ ..... Βαπτίζεται δὲ ὁ ἅγιος Ναζάριος ὑπὸ Λίνου ἐπισκόπου Ῥώμης διαδόχου γενομένου τοῦ ἁγίου Πέτρου. Ἐν δὲ τῷ εἰκοστῷ χρόνῳ τῆς ἡλικίας αὐτοῦ, ἄπῄει διὰ τῶν πόλεων Ἰταλίας κηρύσσων τὸν Χριστόν· καὶ πολλοὺς εἰς τὴν πίστιν ἐνάγων καὶ παρασκευάζων βαπτίζει. Διὰ δὲ χρόνων δέκα κατήντησεν εἰς πόλιν λεγομένην Πλακεντίαν, ἔνθα κατέλαβε τὸν ἅγιον Πρωτάσιον καὶ Γερβάσιον βεβλημένους ἐν τῇ φυλακῇ ..... Τύπτεται οὖν παρὰ τοῦ αὐτοῦ ἄρχοντος καὶ τῆς πόλεως ἐκδιώκεται. Καταλαβὼν δὲ πόλιν τινὰ τῶν Γαλλιῶν λεγομένην Κείμελιν, προσλαμβάνει τὸν ἅγιον Κέλσιον ἔτι τριετῆ ὄντα παῖδα..... Καὶ αὖθις ὑπὸ τοῦ Νέρωνος συλλαμβάνεται καὶ δεσμεῖται καὶ θηρίοις ἐκδίδοται ..... Εἰς Μεδιόλανα ὑποστρέψας τέμνεται τὴν κεφαλὴν ἅμα τοῖς ἁγίοις Γερβασίῳ, Πρωτασίῳ καὶ Κελσίῳ...

Vat. gr. 2 = V, ff. 36-37v
Sabait. gr. 41 = Jd, ff. 77v-78

Ὁ κανών.

Ἦχος βαρύς.

ᾠδὴ α'. *Τῷ συνεργήσαντι θεῷ*

Τοῦ ἀοράτου Φαραὼ
ἀναβάτας τριστάτας κατεπόντισας,
Ναζάριε ἔνδοξε,
τοῖς ῥείθροις τῶν αἱμάτων σου.

---

heirm. α' EE 202, n. 287, Germani

1-2 Ex. 15,4

5 Σὺν Ναζαρίῳ οἱ πιστοὶ
καὶ Γερβάσιον πάντες εὐφημήσωμεν,
τιμῶντες Πρωτάσιον
καὶ Κέλσιον τοὺς μάρτυρας.

Ἡ πάλαι Ῥώμη σὲ καλῶς
10 θρεψαμένη, Ναζάριε, καὶ κοσμήσασα
τοῖς ἄθλοις, παρέδωκε
τῇ νέᾳ σου τὰ λείψανα.

θεοτ. * Ἡ διὰ λόγου ἐν σαρκὶ
ὑπὲρ λόγον τεκοῦσα τὸν ἀρχηγὸν τῆς ζωῆς
15 αὐτὸν καθικέτευε
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ᾠδὴ γ'. *Ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ*

Ἐπὶ τὴν πέτραν
τὸν θεμέλιον, ὡς ἐχέφρων
τοῦ δρόμου τῆς ἀθλήσεως πηξάμενος,
20 ἀδιάσειστος ἔμεινας
τοῖς ἐναντίοις, μακάριε.

Ὠδαῖς ᾀσμάτων
νῦν Ναζάριος εὐφημείσθω
f. 36v || καὶ ὕμνοις ὁ θεσπέσιος Γερβάσιος,
25 ἐν ψαλμοῖς Πρωτάσιος
καὶ ὁ ἀοίδιμος Κέλσιος.

9-12 hoc aliud troparium in Jd:
Θυσίαν ζῶσαν τῷ θεῷ
10 ἑαυτὸν προσενέγκας, μάρτυς Ναζάριε,
τὰ μύρα τῆς χάριτος
προχέεις μετὰ θάνατον.
13-16 θεοτ. ed. Νέα Σιών 28 (1933), 335 15 οὖν ἱκέτευε Jd
heirm. γ' ΕΕ 201, n. 285, Joannis 19 ἀθλήσεως] ἀσκήσεως Jd
21 μακάριε] Ναζάριε Jd 26 ἀοίδιμος] ἔνδοξος Jd

17-19 Luc. 6,48

Τοῖς ἐκτελοῦσι
τὴν ἐτήσιον ὑμῶν μνήμην
πταισμάτων τὴν συγχώρησιν αἰτήσασθε
30 καὶ τὸ πλούσιον ἔλεος
παρὰ κυρίου, πανεύφημοι.

θεοτ. * Ἐτέχθης
ἐκ παρθένου ἀνερμηνεύτως,
ἐφάνης, ὡς εὐδόκησας, σωτὴρ ἡμῶν,
35 ἵνα σώσῃς οὓς ἔπλασας
ἐκ τοῦ ἐχθροῦ τὰς ψυχὰς ἡμῶν.

ᾠδὴ δ'. *Ἐκάλυψεν οὐρανούς, Χριστὲ ὁ θεός,*

Ὡς φοῖνιξ δαυϊδικῶς ἐξήνθησας,
ὡσεὶ κέδρος ἐπληθύνθης,
ὡς παράδεισος, μάρτυς,
40 πηγάζεις τὰ χαρίσματα.

Τὰ στίγματα τοῦ Χριστοῦ, Ναζάριε,
ἐν τῷ σώματί σου φέρων,
πνευματικῆς εὐωδίας
πηγάζεις τὰ χαρίσματα.

45 Τοὺς μάρτυρας τοῦ Χριστοῦ, Ναζάριον
καὶ Γερβάσιον τὸν μέγαν,
σὺν Πρωτασίῳ Κέλσιον,
ᾠδαῖς ἀνευφημήσωμεν.

27-31 aliud troparium legimus in Jd:
Τῶν τοῦ κυρίου
κοινωνήσαντες παθημάτων,
καὶ τούτῳ συνταφῆναι ἠξιώθητε
30 καὶ ἐν τρυφῇ ἀναπαύεσθε
τοῦ παραδείσου, μακάριοι.
32-36 θεοτ. ed. MR III, 85; θεοτ. om. Jd
heirm. δ' ΕΕ 203, n. 288, Germani

37-39 Ps. 91,13 41-42 cf. Gal. 6,17

θεοτ. Τὸ ὄρος τὸ νοητὸν ἐν ᾧ Χριστὸς
50 κατεσκήνωσεν, ὡς οἶδεν,
τὴν θεοτόκον Μαρίαν
ἀξίως μακαρίσωμεν.

ᾠδὴ ε'. *Οἱ ὀρθρίζοντες, λόγε,*

Τοὺς Χριστοῦ στρατιώτας,
Ναζάριον τὸν μέγαν
55 καὶ Γερβάσιον ὕμνοις
καὶ ᾄσμασι τιμῶντες,
Πρωτάσιον ᾠδαῖς
στέψωμεν καὶ Κέλσιον.

Τοὺς σοφοὺς ἀθλοφόρους
60 καὶ μάρτυρας κυρίου
ὡς καλῶς τὸν ἀγῶνα
τελέσαντας ἐν ὕμνοις
τιμήσωμεν, πιστοί,
τοὺς περὶ Ναζάριον.

49-52 aliud θεοτ. in Jd:
Ἐκύησας ἐν σαρκί, παρθένε ἁγνή,
τὸν πρὸ σοῦ ἄναρχον λόγον
καὶ μετὰ σὲ ὑπὲρ λόγον
θεὸν ἐνανθρωπίσαντα.
heirm. ε' EE 204, n. 289, Germani 59-64 hoc aliud troparium in Jd:
Οἱ τὴν μνήμην σου, μάρτυς
Ναζάριε, τελοῦντες
καὶ τὸ μύρον σου πίστει
καὶ πόθῳ ἐξαντλοῦντες,
τῆς ἄνω κοινωνοὶ
δόξης γενοίμεθα.
et alterum deinde:
Ὡς ἀθάνατον ἔχων
τοῦ πνεύματος τὴν χάριν,
μετὰ θάνατον βλύζεις,
Ναζάριε, τὸ μύρον
τῆς δόξης τοῦ πατρὸς
καὶ υἱοῦ καὶ ἁγίου πνεύματος.

49-50 Ps. 14,1

θεοτ. 65 * Παναγία παρθένε,
ἡ κεχαριτωμένη,
ἡ τεκοῦσα ἐν χρόνῳ
τὸν λόγον ὑπὲρ λόγον,
δυσώπησον αὐτὸν
70 σῶσαι τὰς ψυχὰς ἡμῶν.

ᾠδὴ ς'. *Ὁ Ἰωνᾶς ἐκ κοιλίας ᾅδου ἐβόα*

Τὸ ἔνθεον ἀγαλλίαμα πάντες
τοῦ πνεύματος, τοὺς σοφοὺς ἀθλοφόρους
τιμήσωμεν ἀξίως
ὡς δυσωποῦντας ἐκτενῶς
75 τοῦ σωθῆναι ἡμᾶς.

Ναζάριον τοῦ Χριστοῦ στρατιώτην,
Γερβάσιον τὸν γενναῖον ὁπλίτην
καὶ Κέλσιον ἐν πίστει
σὺν Πρωτασίῳ τῷ σοφῷ
80 ἀνυμνήσωμεν.

Τοὺς πίστει σου ἐκτελοῦντας τὴν μνήμην,
Ναζάριε, ταῖς πρεσβείαις σου ῥῦσαι
ὡς ἔχων παρρησίαν
πρὸς τὸν οἰκτίρμονα θεὸν
85 ἀπὸ πάσης ὀργῆς.

θεοτ. * Ὃν ἔτεκες, θεοτόκε, ἀνερμηνεύτως
f. 37 θεὸν ἡμῶν || δυσωποῦσα μὴ παύσῃ
ῥυσθῆναι ἐκ κινδύνων
τοὺς ὑμνοῦντάς σε, ἁγνὴ
90 ἀειπάρθενε.

65-70 θεοτ. ed. MR III, 88
heirm. ς' EE 204, n. 289, Germani 81-85 om. V 86-90 θεοτ. ed. MR III, 89

ᾠδὴ ζ'. *Κάμινον καιομένην ἐδρόσισας, σωτήρ,*

Καύχημα τῶν Ῥωμαίων καὶ κραταίωμα,
σκέπη, στῦλος καὶ ἑδραίωμα, Ναζάριε, τῆς πίστεως,
Χριστὸν δυσώπει ὑπὲρ τοῦ κόσμου
καὶ ἡμῶν τῶν τιμώντων σε.

95 Σκεῦος ἡγιασμένον καὶ εὔχρηστον θεῷ,
μάρτυς παμμακάριστε Ναζάριε, γενόμενος,
τὰ θεῖα μύρα τῶν ἰαμάτων
παραδόξως πηγάζεις ἡμῖν.

Μάρτυρες πανεύφημοι, πρεσβεύσατε Χριστῷ
100 πάσης περιστάσεως ῥυσθῆναι τὰς ψυχὰς ἡμῶν
τῶν εὐφημούντων καὶ ἐκτελούντων
τὴν πανέορτον μνήμην ὑμῶν.

θεοτ. * Περίσῳζε τὴν πόλιν σου, πανάχραντε παρθένε,
ἐκ πάσης περιστάσεως ὡς μόνη προστασία
105 τοῦ γένους ἡμῶν, εὐλογημένη
θεοτόκε πανύμνητε.

ᾠδὴ η'. *Τοὺς ἐν καμίνῳ παῖδας μιμούμενοι*

Τὴν τῶν εἰδώλων πλάνην κατήργησεν
ὁ γενναῖος μάρτυς Ναζάριος
καὶ πίστει ἐκραύγαζεν·
110 « εὐλογεῖτε τὰ ἔργα κυρίου τὸν κύριον ».

Τοὺς πίστει ἐκτελοῦντας τὴν μνήμην σου,
μάρτυς τοῦ κυρίου Ναζάριε,

---

heirm. ζ' EE 204, n. 289, Germani 91-94 om. V 99-102 om. Jd
103-105 θεοτ. ed. MR III, 91
heirm. η' EE 203, n. 287, Germani 111-114 om. Jd

---

92 cf. I Tim. 3,15

πρεσβείαις σου δώρησαι τὴν εἰρήνην
καὶ μέγα καὶ πλούσιον ἔλεος.

115 Ναζάριον τὸν μάρτυρα ἅπαντες
ὡς φωστῆρα κόσμου ἐν ᾄσμασι
τιμῶντες, βοήσωμεν·
« εὐλογεῖτε τὰ ἔργα κυρίου τὸν κύριον ».

θεοτ. Τὸν πρὸ αἰώνων λόγον ἀμήτορα
120 ἐν σαρκὶ τεχθέντα ἀπάτορα
ὑμνήσωμεν λέγοντες·
« εὐλογεῖτε τὰ ἔργα κυρίου τὸν κύριον ».

ᾠδὴ θ'. *Τὴν ὑπὲρ φύσιν μητέρα*

Ὑπομονῇ καὶ ἀνδρείᾳ
οἱ ἀθλοφόροι κυρίου
125 τὴν ἔπαρσιν τοῦ ἐχθροῦ καταβαλόντες,
τῆς νίκης ὡς ἀληθῶς
τοῖς στεφάνοις ἐκοσμήθησαν.

Ὡς ἀκαθαίρετον πύργον
καὶ ἀδιάσειστον τεῖχος,
130 Ναζάριε ἀθλητά, ἡ νέα Ῥώμη
τοῦτόν σοι τὸν ναὸν
πρὸ τοῦ τείχους ἐδομήσατο.

Τοὺς ἐκτελοῦντάς σου πίστει
τὴν ἀεισέβαστον μνήμην

---

117 ὑμνήσωμεν λέγοντες Jd
heirm. θ' EE 203, n. 287, Germani 127 ἐκοσμήθησαν] ἐκληρώσαντο Jd
130 Ναζάριε ἀθλητά om. Jd 133-137 aliud troparium legimus in Jd:
Σὺν Ναζαρίῳ τιμάσθω
καὶ ὁ Γερβάσιος, πιστοί,
σὺν Πρωτασίῳ καὶ Κέλσιος,
ὑμνείσθω· πρεσβεύουσι γὰρ Χριστῷ
τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

135 καὶ πάλιν καὶ εἰς πολλὰς τὰς περιόδους
ἀξίωσον συνελθεῖν
καὶ ὀφθῆναί σοι, Ναζάριε.

f. 37ᵛ θεοτ. ‖ Τὴν ἐν γαστρὶ συλλαβοῦσαν
τὸν ἀπερίληπτον λόγον
140 καὶ τοῦτον ἄνευ σπορᾶς σαρκὶ τεκοῦσαν,
τὴν ἄχραντον ἀληθῶς
θεοτόκον ἀνυμνήσωμεν.

---

138 Ἡ ἐν γαστρὶ συλλαβοῦσα Jd 141 ἱκέτευε ἐκτενῶς Jd 142 τοῦ σωθῆναι τοὺς ὑμνοῦντάς σε Jd

IN SS. NAZARIUM, GERVASIUM, PROTASIUM ET CELSIUM

Vallic. gr. B 22 = E, ff. 129ᵛ-131
Paris. gr. 1619 = P, ff. 99ᵛ-101

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Ἐχθρ⟨οῦ κ⟩αθεῖλε Ναζάριος τὴν πλάνην.
⟨Γεωργίου.⟩

Ἦχος β'.

ᾠδὴ α'. *Δεῦτε, λαοί,*

Ἐν τῇ φαιδρᾷ
ἅπαντες μνήμῃ σαλπίσωμεν
τῶν ἀθλοφόρων σήμερον,
Χριστὸν δοξάζοντες
5 τὸν αὐτῶν στεφοδότην
καὶ μόνον νικοποιὸν
ἐνθέοις ᾄσμασιν.

Χάρις ἐν σοὶ
ἄφθονος, μάρτυς Ναζάριε,
10 τοῦ παναγίου πνεύματος
ἐπιδημήσασα,
ταῖς πυρίναις σε γλώσσαις
ὥσπερ τοὺς ἀποστόλους
ἐνθέως ὥπλισεν.

---

tit. Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε· Γεωργίου. Ἐχθροῦ ... P, cum odes β' autem desit, in cdd., acrostichis oritur: εχθρ ... αθειλε ναζαριος την πλανη., in theotokiis vero nomen γε·ργιουω legitur
heirm. α' EE 37, n. 51, Cosmae

8-14 cf. Act. 2,1-4

f. 130 15 ‖ Θωρακισθεὶς
πνεύματι, μάρτυς Ναζάριε,
συνασπισμὸν κατέβαλες
τῆς ἀθεότητος,
νικητὰς τοὺς συνάθλους
20 καὶ συστεφανηφόρους
ἀπεργασάμενος.

Ῥῆμα θεοῦ,
ἅγιοι, καθάπερ μάχαιραν
νεανικῶς σπασάμενοι,
25 τὴν πολυμήχανον
κεφαλὴν τῆς ἀπάτης
ἐτέμνετε, ἀπαύστως
Χριστὸν δοξάζοντες.

θεοτ. * Γνῶσιν θεοῦ,
30 δέσποινα, κατεπλουτίσθημεν
οἱ ἐπιγνόντες ἅπαντες
σὲ θεομήτορα
καὶ κυρίως τιμῶντες
καὶ γράμμασι τοὺς λόγους
35 ἐπισφραγίζοντες.

ᾠδὴ γʹ. *Στερέωσον ἡμᾶς*

Ἀνέπτης νοητῶς
ἐκ γῆς, ἔνδοξε,
ἀγῶσιν
ὡς πτέρυξι κεχρημένος,
40 πρὸς τὸ ὕψος τὸ οὐράνιον,
ἔνθα εἶχες ἀεὶ καὶ τὸ πολίτευμα.

29-35 θεοτ. om. P; θεοτ. ed. MR V, 94
heirm. γʹ EE 39, n. 53, Cosmae 41 καὶ om. P

Θαλάσσης νοητῆς
φυγὼν κλύδωνα
τῇ ζάλῃ
45 θαλάσσης τῆς ὁρωμένης
ἐπετίμησας, Ναζάριε,
καὶ εἰς ὅρμον γαλήνης κατεσκήνωσας.

Ἐμπρήσαντες, σοφοί,
πυρὶ τῆς πίστεως
50 τῆς πλάνης
τεμένη, τῆς ἐκκλησίας
ἐφαιδρύνατε τὸ πλήρωμα
ταῖς τῶν ἄθλων ὑμῶν θείαις λαμπρότησιν.

θεοτ. * Ἐρράγη τῆς ἀρᾶς
55 τὸ πρὶν μεσότοιχον
καὶ θείᾳ
συνήφθημεν εὐλογίᾳ
οἱ τοῖς σοῖς, θεοχαρίτωτε,
μεγαλείοις ἀεὶ ἐπευφραινόμενοι.

ᾠδὴ δʹ. *Εἰσακήκοα, κύριε,*
τὴν ἀκοὴν τῆς σῆς οἰκονομίας

60 Ἰλυσπώμενον ἔκτεινας
ἐπὶ τῆς γῆς τὸν ὄφιν, ἀθλοφόρε,
καὶ τῆς τούτου θήρας
λαοὺς ἀφήρπασας.

Λογικῶς συμπλεκόμενος
65 ταῖς προβολαῖς, Ναζάριε, τοῦ ψεύδους,
ἀληθείας ταύτας
ἐνίκας ῥήμασιν.

54-59 θεοτ. ed. MR V, 95
heirm. δʹ omittit EE, sed confer MR I, 96 60 ἔκτειναν E 61 ἀθλοφόροι E 63 ἀφήρπασαν E 65 προσβολαῖς P

---

54 Eph. 2,14

'Εν φρεσὶ τελειότητος
τὸ νηπιῶδες φρόνημα τῆς πλάνης
70 συνετῶς διήλεγξας,
μάρτυς Κέλσιε.

Νοητῶς συνδεόμενος
τῇ τοῦ Χριστοῦ Γερβάσιος ἀγάπῃ,
Πρωτασίου ἔμεινεν
75 ἀδιαίρετος.

θεοτ. 'Ρυπωθεῖσαν τοῖς πάθεσι
τὴν τῶν βροτῶν ἀπέπλυνας, παρθένε,
φύσιν καὶ ἐκόσμησας
τῇ γεννήσει σου.

ᾠδὴ ε'. *'Ο τοῦ φωτὸς χορηγὸς*

80 'Απορραγεὶς τῶν ἐν γῇ
καὶ τῆς σαρκώδους ἀληθῶς σχέσεως,
τῷ ποιητῇ ἀλύτως συνήφθης,
Ναζάριε σοφέ,
οὗ καὶ διαμένεις
85 ἀεὶ ἀδιαίρετος.

Ζῶν τῷ δεσπότῃ Χριστῷ,
τοῖς ὁρωμένοις, ἀθλητά, τέθνηκας
καὶ τῆς σαρκὸς νεκρώσει μετέβης
πρὸς ἄφθαρτον ζωὴν
90 καὶ τῶν αἰωνίων
μονῶν κατηξίωσαι.

Αἱ μηχαναὶ τοῦ ἐχθροῦ
ἐν τῇ στερρότητι ὑμῶν ἠργήσαν

70 διήλεγξας] διήνυσας P 72 συνδεούμενος P 73 ἀγάπῃ] ὁ μέγας E 76-79 θεοτ. om. P; θεοτ. ed. MR I, 278 simile invenies tantum in primis verbis

heirm. ε' EE 38, n. 51, Cosmae, 81 ἀληθοῦς P 92-97 troparium deest in P

καὶ ἀσθενεῖς ἐδείχθησαν πᾶσι,
95 γενναῖοι ἀθληταί·
Χριστὸν γὰρ ἀθλοῦντες
κρατύνοντα εἴχετε.

f. 130v θεοτ. ‖ Γένος ἀνθρώπων, τυχὸν
υἱοθεσίας διὰ σοῦ, δέσποινα,
100 καὶ τῆς πικρᾶς τοῦ ἐχθροῦ δουλείας
τῷ τόκῳ σου ῥυσθέν,
ὡς καλῶν αἰτίαν
ὑμνεῖ σε καὶ πρόξενον.

ᾠδὴ ϛ'. *'Εν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

'Ρητορεύων Χριστοῦ τὰ θαυμάσια,
105 δυσσεβῶν ἀπέφραξας χείλη καὶ στόματα
καὶ τῶν πιστῶν ἐτράνωσας
εἰς εὐσέβειαν γλῶσσαν, Ναζάριε.

'Ιερεῖα καὶ θύματα ἄμωμα
ἑαυτοὺς προσήξατε πόνοις ἀσκήσεως
110 καὶ ὀσμὴν διεπνεύσατε
τῆς αὐτοῦ εὐωδίας, ἀοίδιμοι.

Οἱ βωμοὶ τῶν εἰδώλων ἐτάκησαν
τῇ πυρφόρῳ, μάρτυρες, ὁμολογίᾳ ὑμῶν
καὶ δυσσεβείας δόγματα
115 πρὸς εὐσέβειαν ὕψος ἐπήρθησαν.

θεοτ. 'Ιλαστήριον θεῖον, πανάχραντε,
καὶ καταλλαγὴν καὶ μεσῖτιν πρὸς κύριον
καὶ τὴν πρεσβείαν ἔχοντες,
εὐχαρίστως ἀεί σε δοξάζομεν.

98-103 θεοτ. om. P

heirm. ϛ' EE 34, n. 46, Joannis 107 γλώσσης E 109 πόνοις ἀσκήσεως] μακαριώτατοι P 112-115 troparium deest in P 116-119 θεοτ. om. P

108-111 cf. Eph. 5,2; Philip. 4,18

Κοντάκιον.

Ἦχος β'. *Τὰ ἄνω ζητῶν*

Λαμπτῆρες φαιδροὶ

....

Ὁ οἶκος. *Τράνωσόν μου τὴν γλῶτταν*

Ὡς φωταυγεῖς καὶ θεῖοι φωστῆρες

....

ᾠδὴ ζ'. *Εἰκόνος χρυσῆς*

120 Συνέσει φρενῶν
τὸ ἀσύστατον, σοφέ, κατανοήσας
τῆς τῶν Ἑλλήνων ματαιότητος,
τὴν ἀσφαλῆ καὶ ἀσάλευτον
πίστιν τοῦ Χριστοῦ ἡρετίσω,
125 ἣν καὶ κηρύττων, ἀνέκραζες·
« εὐλογητὸς εἶ, ὁ θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Τὸν σπόρον λαβὼν
ἐκ προγόνων, ἀθλητά, τῆς εὐσεβείας
130 διὰ τοῦ Πέτρου, τοῦτον ηὔξησας
καὶ τῇ ἀθλήσει ἐπλήθυνας
καὶ εἰς οὐρανῶν ἀποθήκας
ἐναποθείς, νῦν, Ναζάριε,
τῶν αἰωνίων ἐντρυφᾷς
135 καὶ νοητῶν ἀγαθῶν.

κοντάκ. et οἶκ. tantum E profert
heirm. κονταχ. MR I, 17 κοντάκ. ed. BBG 2, 186
heirm. οἴκ. cfr. MR I, 215 οἶκ. quoque ed. Boll. Grott. 2, 186
heirm. ζ' EE 39, n. 53, Cosmae 125 ἀνέκραζες] ἐκραύγαζες P 132 οὐρανων V 133 ἐναποθήσας Ναζάριε V

128-130 Metaphrastes: PG 116, col. 897A: Πατρὶς μὲν αὕτη (ἡ Ῥώμη) τῷ Ναζαρίῳ, πατέρες δὲ ὁ μὲν Λίβος, ἡ δὲ Ῥωμαία καὶ αὐτὴ τὸ γένος, πλούσιοι μὲν ἄμφω καὶ βίον καὶ ἀρετήν, ὑπὸ καθηγητῇ δὲ Πέτρῳ τῷ τοῦ χοροῦ κορυφαίῳ τῶν μαθητῶν ...
128-131 II Co 9,10

Ἡ γῆ τὰ ὑμῶν,
ἀθλοφόροι τοῦ Χριστοῦ, εἰσδεξαμένη
ἐν τῇ ἀθλήσει θεῖα αἵματα,
μύρα χαρίτων διέπνευσε
140 καὶ τῆς τῶν θαυμάτων τὸν κόσμον
εὐωδίας ἐπλήρωσε,
τὸν πλαστουργὸν καὶ ποιητὴν
Χριστὸν δοξάζουσα.

θεοτ. Ὁ λόγος θεοῦ
145 ὁμοούσιος πατρὶ ὢν κατ' οὐσίαν
f. 131 καὶ ὁμοδύναμος ‖ καὶ συνάναρχος,
δι' ἀγαθότητα ἄφατον
τὴν ταπεινωθεῖσαν οὐσίαν
τῶν ἀνθρώπων ἐπέλαβεν
150 ἐκ σοῦ, πανάχραντε ἁγνή,
ἵνα θεώσῃ ἡμᾶς.

ᾠδὴ η'. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Νέφη βασάνων διαβὰς
καὶ τῷ τέλει, ἀθλητά,
τῷ τῶν ἀγώνων
155 πρὸς αὐτὸ καταντήσας
τὸ φῶς τὸ ἄδυτον,
ἀκτῖνας θαυμάτων, Ναζάριε,
παρ' αὐτοῦ ἐδέξω,
δι' ὧν ἡμᾶς φωτίζεις.

160 Πρὸς ἀφθαρσίαν, ἀθληταί,
ἀποβλέποντες ἀεὶ
τὴν ἐσομένην,
φθειρομένων σωμάτων

---

142 εὐλογητὸς εἶ ὁ θεὸς P 143 ὁ τῶν (πατέρων ἡμῶν) P 144-151 θεοτ. om. P
heirm. η' EE 35, n. 47, Joannis

κατεφρονήσατε·
165 διόπερ ἄφθαρτον ἐλάβετε
δόξαν, ἀνυμνοῦντες
Χριστὸν εἰς τοὺς αἰῶνας.

Λύτρον ὁ δοὺς ὑπὲρ ἡμῶν
τὸ πανάγιον, Χριστέ,
170 καὶ θεῖον αἷμα,
τῶν ἁγίων μαρτύρων
λαβὼν τὰ αἵματα,
οἰκτῖρμον, εἰς πρεσβείαν, λύτρωσαι
τῆς μιαιφονίας
175 ἡμᾶς τοῦ ἀλλοτρίου.

θεοτ. Ὑπὲρ λαοῦ τοῦ ἐπὶ σοὶ
πεποιθότος, ἀγαθή,
τὰς πρὸς τὸν κτίστην
ποιουμένη πρεσβείας
180 μὴ διαλίπῃς, ἁγνή,
ἀπαύστως ὑμνοῦντας τὸν κύριον
καὶ ὑπερυψοῦντας
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Τὸν ἐκ θεοῦ θεὸν λόγον*

Ἀποβαλόντες τὸ βάρος
185 δι' ἀθλήσεως πόνων
τοῦ σώματος, γενναῖοι ἀθληταί,
πρὸς οὐρανὸν ἀνεδράμετε
καὶ χορείαις ἀγγέλων
ἁγίων συνηρμόσθητε Χριστοῦ,
190 τὸν ὑμᾶς ἀνυψοῦντα
ἀπαύστως μεγαλύνοντες.

168-175 om. P 176-183 θεοτ. om. P 181-182 ὑμνοῦντας ... ὑπερυψοῦντας constructio ad sensum et acc. abs.
heirm. θ' EE 34, n. 46, Joannis 189 συνηρμώθητε E

Νόμων Χριστοῦ τῇ μελέτῃ
εὐσεβείας ἐνθέως
ἐξέκαυσας τὸ πῦρ ἐν τῇ ψυχῇ
195 καὶ ἀνομούντων, Ναζάριε,
δυσφημίας ἀθέους
κατέφλεξας τοῖς λόγοις σου, σοφέ,
τὴν σοφίαν δοξάζων,
Χριστόν, τὴν ἐνυπόστατον.

200 Ἡ Ναζαρίου ἀγάπη
πρὸς τὸν πάντων δεσπότην
συνῆψεν ἑαυτῇ τοὺς ἀθλητάς,
σὺν Γερβασίῳ Πρωτάσιον
καὶ τὴν ἄτμητον γνώμην
205 Κελσίου τοῦ γενναίου ἀθλητοῦ,
τοῦ μιᾷ συμφωνίᾳ
ἀνύσαι δρόμον ἔνθεον.

θεοτ. Ὡς μακαρία ὑπάρχει
τῶν ἀνθρώπων ἡ φύσις
210 ἡ σὲ καρποφορήσασα, ἁγνή,
καὶ μακαρία ἡ ταύτης ἐστὶν
προσδοκία, ἣν ἔχει
βεβαίαν ἐπὶ σοὶ καὶ ἀσφαλῆ,
καὶ μακάριοι εἰσὶν
215 οἱ πόθῳ σε δοξάζοντες.

---

192 Νόμον E 199 τὴν] τὸν E 201 πάντων δεσπότην] δεσπότην ἐνθέως P 204 ἄτμητον] ἀήττητον 208-215 θεοτ. om. P

16 OCT. *CANON XIX*

IN SANCTUM LONGINUM

Synaxarium, 141-144: Ἄθλησις τοῦ ἁγίου μάρτυρος Λογγίνου τοῦ ἑκατοντάρχου. Ὃς ἦν ἐπὶ Τιβερίου Καίσαρος ἐκ τῆς χώρας τῶν Καππαδοκῶν. Οὗτος σὺν τῷ Πιλάτῳ ἐν τῇ Ἰουδαίᾳ διάγων, ἑκατοντάρχης ὑπάρχων καὶ προσταχθεὶς παρ' αὐτοῦ ὑπηρετῆσαι τῷ πάθει τοῦ Χριστοῦ καὶ φυλάξαι τὸν τάφον μετὰ τῆς κουστωδίας, ἥτις ἐστὶ τάγμα στρατιωτικόν, ἰδὼν τὰ ἐπὶ τοῦ σταυροῦ τοῦ Χριστοῦ γενόμενα θαύματα, τὸν σεισμόν, τοῦ ἡλίου τὸν σκοτασμόν, τοὺς ἀνοιγέντας τάφους, τοὺς ἐγερθέντας νεκρούς, τὰς σχισθείσας πέτρας, ἀνεβόησεν· « Ἀληθῶς Θεοῦ υἱὸς ἦν οὗτος ». Ὡς δὲ καὶ τὸν τάφον φυλάττων σὺν τοῖς ὑπ' αὐτὸν στρατιώταις, τὴν ἀνάστασιν τοῦ Κυρίου ἐπληροφορήθη, ἀποσεισάμενος τὰ διδόμενα αὐτῷ ἀργύρια παρὰ τῶν Ἰουδαίων ἐπὶ διαβολῇ τῆς τοῦ Χριστοῦ ἀναστάσεως, καταλιπὼν τὴν ὑποκειμένην αὐτῷ στρατείαν καὶ τὴν οἰκείαν χώραν καταλαβὼν μεθ' ἑτέρων δύο στρατιωτῶν, οἳ καὶ ὕστερον σὺν αὐτῷ ἐμαρτύρησαν, ἀποστολικῶς τὸν Χριστὸν Θεὸν ἀνεκήρυττεν. Ὃ μαθόντες οἱ Ἰουδαῖοι καὶ τὸν Πιλάτον χρημάτων δόσει καὶ ἑτέρων πλειόνων ὑποσχέσει ὑποσύραντες, πείθουσι γράψαι κατ' αὐτοῦ πρὸς Τιβέριον ὅτι Λογγῖνος καταλιπὼν τὴν οἰκείαν στρατείαν ἐν τῇ πατρίδι διάγει, Χριστόν τινα καταγγέλλων βασιλέα τοῖς ἔθνεσι. Τοῦ δὲ Καίσαρος προστάξαντος, ἀνῃρέθη Λογγῖνος καὶ οἱ σὺν αὐτῷ δύο στρατιῶται. Ἤχθη δὲ αὐτοῦ ἡ κεφαλὴ εἰς Ἱερουσαλὴμ τοῦ πληροφορίαν λαβεῖν τοὺς Ἰουδαίους τῆς αὐτοῦ ἀναιρέσεως καὶ ἐφ' ᾧ τὸν Πιλάτον τὰ συμφωνηθέντα λαβεῖν· ἥτις καὶ ἐκρύβη ἐν κόπρῳ τινί. Χρόνοις δὲ ὕστερον γυνή τις ἀπὸ Καππαδοκῶν τυφλή, ἀπελθοῦσα εἰς Ἱεροσόλυμα ἐπιτυχίας ἕνεκεν θεραπείας τινὸς ἐξ ἐπιφανείας θείας εὗρε τὴν ἱερὰν κεφαλὴν καὶ εὐθὺς ἀνέβλεψε.

Paris. gr. 1580 = U, ff. 124-126

Ὁ κανών·
⟨Τὸ Λογγίνου θαυμαστὸν ἐξᾴδω τέλος· Κλήμεντος⟩.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

Τὸ κλέος τῆς μαρτυρίας ᾄδεται
ἐν οὐρανῷ καὶ ἐν γῇ
τῆς σῆς ἐνθέου πίστεως,
ἀεὶ ἀθλοφόρε Λογγῖνε, σοφῶς
5 ὅτι σταυρῷ κρεμάμενον
υἱὸν θεοῦ Χριστὸν ἐκήρυξας.

Οὐ δώροις χρυσοῖς ψευδῆ ἐπώλησας
Χριστοῦ τὴν ἔγερσιν,
ὡς Ἰουδαῖοι πάλαι οἱ δεινοὶ
10 χρυσολάτραι καὶ ἄθεοι,
ἀλλ' ἀληθείᾳ ἔδειξας
ὡς χριστολάτρης τὴν ἀλήθειαν.

Λαμπρῶς ἐν τῷ πάθει τῆς σταυρώσεως
ἀνακηρύξας, σοφέ,
15 υἱὸν θεοῦ Χριστὸν τὸν Ἰησοῦν,
βεβαιῶν δὲ τὸν λόγον σου
καὶ τὴν σεπτήν σου τέθυκας
ὑπὲρ αὐτοῦ κάραν, πανεύφημε.

Κλονούμενον, δέσποινα, ταῖς θλίψεσι
θεοτ. 20 τῶν ἀναγκῶν με δεινῶς,
ὡς συμπαθὴς καὶ μόνη ἀγαθὴ
προστασία τῶν δούλων σου,
χεῖρα πρεσβείας ἔκτεινον
καὶ χαλεπῶν πταισμάτων ῥῦσαί με.

---

acrostichis deducitur e capitalibus litteris tropariorum, quorum autem quaedam hic ubique desunt - Idemque dicendum est nomen Κλήμεντος a theotociis deductum esse.

heirm. α' EE 94, n. 133, Joannis

14-15 Mar. 15,39

ᾠδὴ γ′. *Εὐφραίνεται ἐπὶ σοὶ*

25 Νοσοῦντες ζήλῳ πικρῷ
κατὰ Χριστοῦ, ὡς δυσμενεῖς φθάνουσιν
κτεῖναι δεινῶς χρήμασιν
οἷα τὸν Χριστὸν καὶ Λογγῖνον αὐτοί.

Οἱ αὐτουργοὶ τῆς σφαγῆς
30 τῇ ἱερᾷ σου κεφαλῇ ἤμειψαν
νῦν τὸ φονῶδες αὐτῶν
τῇ αἰδοῖ τῆς σῆς φιλοξένου ῥοπῆς.

Ὑπὲρ ἡμῶν τὸν θεόν,
ὡς μετὰ Στέφανον ὀφθεὶς ἔνδοξος,
35 μάρτυς Λογγῖνε, ἀεὶ
πρέσβευε σωθῆναι ἐκ πάσης ὀργῆς.

θεοτ. * [Ὡς δρόσος ἑωθινὴ
ἡ εὐφροσύνη σου, ἁγνή, στάζουσα,
τὴν τῶν παθῶν κάμινον
40 τῶν σὲ ἀνυμνούντων σβεννύει ἀεί.]

Κάθισμα.

Ἦχος δ′. *Κατεπλάγη Ἰωσὴφ*

Κατεπλάγης τὰ φρικτὰ
καὶ ὑπὲρ λόγον θεωρῶν
ἐν τῷ πάθει τοῦ Χριστοῦ.
Πῶς ἐπάλλετο ἡ γῆ,

---

odes β′ caret quamvis ab acrostichide postulata
heirm. γ′ EE 94, n. 133, Joannis 37-40 θεοτ. ed. MR I, 360 idemque expunximus nam ex acrostichide excedit
heirm. καθ. in MR III, 388 3 τὸν Χριστὸν 4 ἐπαλεύετο

25-28 AA. SS. Mart. II (1668) 736, § 3: ἐκεῖνοι μὲν αἰσχυνθέντες τὸν λαὸν καὶ σβέσαι τὸ θαῦμα βουλόμενοι, ἀργύρια ἱκανὰ τοῖς στρατιώταις ἔδωκαν, ὥστε συκοφαντῆσαι τὴν ἀνάστασιν τοῦ Χριστοῦ, οὕτω δὲ καὶ τὸν Πιλάτον δέξασθαι τὴν συκοφαντίαν χρήμασιν πολλοῖς ἔπεισαν. Οὐ μὴν ὁ Λογγῖνος προκρίνει τὸν λόγον τῆς ἀληθείας, οὐδὲ κατὰ τοῦ Χριστοῦ λαμβάνει χρυσόν, . . .

5 πῶς καὶ αἱ πέτραι ἐσχίζοντο
καὶ οἱ τάφοι ἠνοίγοντο νεκροὺς
f. 124ᵛ ἀπὸ τῆς γῆς ‖ ζῶντας ἐκπέμποντες;
ἥλιος ὁρῶν ἐσκοτίζετο
καὶ ἐμπνευσθείς, ἀοίδιμε Λογγῖνε·
10 « ἀληθῶς — οὕτως ἐβόησας —
θεοῦ υἱὸς ἦν οὗτος καὶ πάντων κτίστης
ὁ σταυρῷ προσπηγνύμενος ».

ᾠδὴ δ′. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία*

Θαυμαστὸς ἐν Καππαδόκαις ὡς κῆρυξ ὤφθης,
μάρτυς Χριστοῦ Λογγῖνε,
ὡς Πέτρος ἐν Ῥώμῃ
καὶ Ἰνδοῖς Θωμᾶς ὁ κλεινὸς
45 καὶ Παῦλος τοῖς ἅπασι
τὸν Χριστὸν αὐτὸν καταγγέλλων θεόν.

[Ἐφελκύσατο πρὸς ἄθλησιν τὴν δυάδα
τῶν ὁπλιτῶν κυρίου
ὁ μάρτυς Λογγῖνος,
50 σὺν αὐτοῖς ποθῶν καὶ ζητῶν
ἐνθέως δοξάζεσθαι
καὶ συνευωχεῖσθαι τραπέζῃ Χριστοῦ.]

⟨Υ — —́ — — — —́ — — —́ — —́ —
—́ — — —́ — —́ —

---

heirm. δ′ EE 94, n. 133, Joannis 47 Ἐφελκύσατο cod., sed acr. A postulat
post v. 52 troparium deest Y incipiens

Καθ. 10-12 Marc. 15,39
41-46 id. id. 736, § 4: Καὶ καταλιπὼν τὴν Ἱερουσαλὴμ ἀνέστρεψεν σὺν αὐτοῖς, καὶ γίνεται τῇ Καππαδόκων χώρᾳ κῆρυξ ἄριστος· ὥσπερ Θωμᾶς τοῖς Ἰνδοῖς, Ῥωμαίοις δὲ Πέτρος, Ἀσιανοῖς δὲ Ἰωάννης, Παῦλος ἀπὸ Ἱερουσαλὴμ καὶ μέχρι τοῦ Ἰλλυρικοῦ, καὶ ἄλλος ἄλλοις, εὐαγγελιζόμενος τὸν Χριστόν, . . .
47-49 id. id. 736, § 4: Ἐπειδὴ δὲ ἐβουλήθη ὅλως Χριστοῦ γενέσθαι, ἀποδύεται τὴν ζώνην τοῦ Καίσαρος, καὶ λοιπὸν ἐν οἴκῳ κάθηται μετὰ τῶν δύο στρατιωτῶν, οἵ τινες σὺν αὐτῷ καὶ τῆς μακαρίας ἐγένοντο ἀθλήσεως συγκληρονόμοι, κήρυκες γενόμενοι ὧν εἶδόν τε καὶ ἀκηκόασιν φοβερῶν τεραστίων

— —́ — — —́ —
— — — — —́ — — —́
— —́ — — —́ — —
— — —́ — —́ — — —́ — — —́>

θεοτ. Μὴ ἐάσῃς με κινδύνοις παραδοθῆναι,
ἀλλὰ ἐκ πάσης βλάβης
55 καὶ κακίας ἀνθρώπων,
μῆτερ τοῦ θεοῦ ἡμῶν,
διάσωσον ἄτρωτον·
σὺ γὰρ εἶ βοήθεια πάντων ἡμῶν.

ᾠδὴ ε΄. *Σύ, κύριέ μου, φῶς*

Μετέσχες καὶ αὐτὸς
60 τοῦ πρωτάθλου τῆς χάριτος
καὶ ἔκραζες σὺν ἐκείνῳ
κτεινόμενος, Λογγῖνε·
« Χριστέ, δέξαι τὸ πνεῦμά μου ».

Ἀθάνατον εἰδὼς
65 τὸν ὑπὲρ Χριστοῦ θάνατον,
προσέδραμε τῷ θανάτῳ
ὡς ζωῇ ὁ Λογγῖνος
μὴ καμφθεὶς φονευταῖς τὴν αἰδῶ.

Στολήν σου καθαρὰν
70 ἀπεντεῦθεν προοίμιον
ἐνδέδυσαι προμηνύων
ὡς θανὼν ἀπαστράψεις,
Λογγῖνε, τῇ ἀρρήτῳ στολῇ.

θεοτ. Ἐλέησον, ἁγνή,
75 τοὺς τιμῶντας τὸν τόκον σου

heirm. ε΄ EE 94, n. 133, Joannis

63 Act. 7,59
59-63 id. 737, § 6: Νῦν ἐρῶ, Κύριε Ιησοῦ Χριστέ, δέξαι τὸ πνεῦμά μου, καθάπερ Στέφανος ὁ πρῶτος τῶν Μαρτύρων.
69-73 id. id. 737 A, § 10: Ἔφησεν δὲ καὶ πρὸς τὸν ἡγούμεγον τῆς οἰκίας αὐτοῦ, στολὴν καθαρὰν κομίσαι, αὐτῷ τῷ ὡς ἐπὶ γάμον καὶ νυμφῶνα καλουμένῳ.

καὶ λύτρωσαι τυραννίδος
τῆς πικρᾶς καὶ κινδύνων·
καὶ γὰρ ἔχεις τὸ δύνασθαι.

ᾠδὴ ϛ΄. *Θύσω σοι μετὰ φωνῆς*

Τριάδος συνάριθμοι ὄντες
80 οἱ μάρτυρες
καὶ ἐκτμηθέντες τὰς κάρας,
λαμπαδηφοροῦντες παρέστησαν
τῇ τριάδι
ἐκτενῶς ὑπὲρ πάντων πρεσβεύοντες.

85 Ὁ πάντα πιλατώδης Πιλᾶτος
καὶ ἄθεος
καὶ θεοκτόνος ὑπάρχων
ἁγιοκτονεῖ τοὺς Χριστοῦ ἐραστάς·
οὗ Λογγῖνος
90 καὶ θανὼν ἀνατρέπει τὸ ψεῦδος σφοδρῶς.

<N — —́ — — — —́ — — —́ —
— —́ — —
— — — —́ — — —́ —
— — — — —́ — — —́ — — —́
— — —́ —
— — —́ — — —́ — — —́ — — —́>.

[Σαρκοῦται τὴν ψυχὴν ὁ Πιλᾶτος
τὴν κάραν ἰδὼν
τὴν τοῦ Λογγίνου θανοῦσαν

heirm. ϛ΄ EE 94, n. 133, Joannis   90-91 trop. desideratur N. incipiens

79-84 id. id. 737 B, § 7: Οἱ δὲ ... λέγουσιν· ὅτιπερ γεγράφηκεν ὁ Καῖσαρ πρὸς Πιλάτον, ἵνα τοῦ Λογγίνου μεθ' ἑτέρων δύο στρατιωτῶν τὴν κεφαλὴν ἀποτέμῃ.
91-96 id. id. 738 A, § 11: Καὶ εἶθ' οὕτως προστάττει ὁ Πιλάτος ῥιφῆναι τὴν τιμίαν κεφαλὴν τοῦ Ἁγίου Λογγίνου ἔξω πρὸς τῆς πύλης τῆς πόλεως, τὴν φοβερὰν μὲν τοῖς δαίμοσι, τοῖς δὲ ἀγγέλοις ἐπέραστον, καὶ στοιχείοις θαυμαζομένην. Ἔκειτο τοίνυν πρὸς τῆς πύλης ὥσπέρ τις θησαυρὸς ἄσυλος, κόπρου δὲ πλείστης οὔσης ἐκεῖσε, ἀβλαβὴς διεφυλάχθη ὁ πολυτίμητος τοῦ Χριστοῦ μαργαρίτης., καὶ τάφος αὐτῷ τέως μᾶλλον δὲ κιβωτὸς ἡ κόπρος ἦν ...

καὶ τῇ ἀπογνώσει κατάγχεται,
95 μαργαρίτην
τῇ κοπρίᾳ καλύπτειν πειρώμενος.]

θεοτ. * [Κοίμισον τῆς ψυχῆς μου τὸν ἄγριον
κλύδωνα
τὸν ὑπὸ πλήθους πταισμάτων
100 προσγενόμενόν μοι, θεοκυῆτορ,
καί, ὡς μήτηρ
τοῦ θεοῦ μου, διάσωσον, σῶσόν με.]

Κοντάκιον.

Ἦχος δ'. *Ἐπεφάνης σήμερον*

* Εὐφροσύνη γέγηθεν ἡ ἐκκλησία
....

f. 125 ‖ Ὁ οἶκος. *Τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν* (τῇ εκκλησίᾳ)

Τὸν οὐρανὸν σκότει πολλῷ
....

f. 125v ‖ ᾠδὴ ζ'. *Ὁ διασώσας ἐν πυρὶ*

Ἐν προμηθείᾳ σωστικῇ
κόπρῳ σου ἡ κάρα ἐρρίφη,

97-102 θεοτ. ed. NTh 52: idemque expunximus cum ex acrostichide excedat
κοντάκ. ed. MR I, 440 1 Εὐφροσύνως MR
οἶκ. ed. MR I, 440
heirm. ζ' EE 101, n. 142, Cosmae

103-109 id. id. 738 A § 12: Χήρα γάρ τις γυνή, μονογενοῦς τέκνου μήτηρ, τοὺς ὀφθαλμοὺς τοῦ σώματος ἀπολαβοῦσα, πίστει τὸ πάθος νικήσασα, μετὰ τοῦ μονογενοῦς τέκνου τὴν Ἱερουσαλὴμ κατέλαβεν, ἐνθάδε προσδοκῶσα τῇ προσκυνήσει τῶν ἁγίων τόπων τοὺς ὀφθαλμοὺς ἀπολαβεῖν ... Id. § 13 φαίνεται αὐτῇ καθ' ὕπνον ὁ μακάριος Λογγῖνος καὶ πάντα αὐτῇ τὰ καθ' ἑαυτὸν διηγήσατο, ... κόπρος τοίνυν πλείστη αὐτῇ σεσώρευται, ὥστε σοι εἴδει φυλαχθῆναι τὸν κλῆρον τοῦτον πρὸς ἰατρείαν·

105 ἣν ἡ τυφλώττουσα καὶ γραῦς
εὑραμένη ταῖς σαῖς ἐξηγήσεσιν
ἀναβλέπει φαιδρότατα,
ἱερώτατε Λογγῖνε,
θεὸν ὑμνοῦσα.

110 Ξένην ἀμπέχοντα στολὴν
οἷά περ νυμφίον ὡραῖον
ἐν μειδιάματι φαιδρῷ
καθορᾷ τὸν υἱὸν σὺν τῷ μάρτυρι
ἡ χερνῆτις καὶ ἄπαις τυφλὴ
115 καί, τὸ φῶς ἀπολαβοῦσα,
τῷ υἱῷ συγχαίρει.

Ἀναρπασθεὶς τὸν λογισμόν,
βλέπεις οὐρανοὺς ἀνοιγέντας
καὶ τὰ αὐτόθι ἀγαθὰ
120 σὺν τῷ θείῳ Στεφάνῳ, πανεύφημε,
οὗ κατίχνιος γέγονας
τῶν φωνῶν, ὑπεραθλοῦντος
Χριστοῦ γενναίως.

θεοτ. Τὴν σήν, παρθένε, ἀληθῶς
125 πρὶν οἱ ἀρχαιότατοι τύποι
διετυποῦσαν ἐμφανῶς,

---

106 ἐξηγήσεσιν 121 κατίχνιος « sectator » interpretare 126 διετυποῦσαν pro διετύπουν puto: cf. Mitsakis 62 § 91

ἅμα γὰρ αὐτὴν ἀνακαλύψεις, τοὺς ὀφθαλμούς σου ἀπολήψει ... Id. § 14 (Ἡ γυνή) ... ἄρχεται ὀρύσσειν ταῖς ἰδίαις χερσίν· ὅθεν προνοίᾳ θεοῦ τάχιον εὑροῦσα τὴν τιμίαν τῷ θεῷ κεφαλήν, παραχρῆμα τὰς ἡλιακὰς ἀκτῖνας ἐθεάσατο.

110-116 id. id. 738 D, § 14: Καὶ δὴ τῇ ἐπιούσῃ νυκτὶ πάλιν ἐπιστὰς αὐτῇ ὁ μακάριος Λογγῖνος ἔχων τὸν αὐτῆς υἱὸν παρὰ τὸν ἑαυτοῦ πλεύραν, λαμπρὸν καὶ μειδιῶντα, καὶ ὥσπερ νυμφίου στολὴν ἔχοντα, λέγει πρὸς αὐτήν· Γύναι, ἴδε ὃν ἐπόθεις, οὗτός ἐστιν ὁ μονογενής σου υἱός, ὃν ἁρπασθῆναι τῶν σῶν χειρῶν ἐνόμισας ...

117-121 id. id. 737 A, § 6: Νῦν τοὺς οὐρανοὺς ἀνεῳγμένους ὄψομαι, νῦν ἱστορήσω τὴν δόξαν τοῦ Πατρὸς [τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου] Πνεύματος. Νῦν ἐρῶ, Κύριε Ἰησοῦ Χριστέ, δέξαι τὸ πνεῦμά μου, καθάπερ Στέφανος ὁ πρῶτος τῶν Μαρτύρων, οὗ λαμπροτάτην φωνὴν ἀφιέντος ἀκήκοα.

---

120 Act. 7,59

θεομῆτορ, πανάχραντον γέννησιν,
ἣν ὑμνοῦντες κραυγάζομεν·
« ὁ θεὸς ὁ τῶν πατέρων,
130 εὐλογητὸς εἶ ».

ᾠδὴ η΄. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

⟨Δ — —́ — — —́ — — — —́
— — — —́ — — —́
— — — —́ — — —́
—́ — — —́ — — —́ — —
— — —́ — — — —́ — — —́
— —́ — —́ — — — —́
— — — —́ — — — — —́ —
— — | — —́ — — —́ — — —́ — —⟩

Ὡς δῶρα πολύτιμα θεῷ
καὶ θησαυρὸν ἀγαθῶν
ἀναφαιρέτων σαφῶς
ἥκει προσφέρουσα γήθουσα
135 τῇ τριάδι ἡ χερνῆτις καὶ γραῦς
τὴν θείαν κάραν σου, σοφὲ
Λογγῖνε, βρύουσαν τὰς ἰάσεις
πᾶσι τυφλοῖς καὶ χωλοῖς καὶ τοῖς πάσχουσιν.

f. 126 ‖ Τοὺς σοὺς συνοδίτας καὶ σεπτοὺς
140 συμμάρτυρας ἱερούς,
Λογγῖνε μάρτυς Χριστοῦ,
συμπρεσβευτὰς ἡμῶν πρόσδεξαι
καὶ παράσχου καὶ ἡμῖν τοῖς τυφλοῖς
φῶς νοερὸν καὶ θεϊκὸν
145 βλέψαι τρανότατα, ἐκδιώκων
πόρρω τὸ σκότος ἡμῶν τῶν παθῶν τῆς σαρκός.

---

heirm. η΄ EE 94, n. 133, Joannis - Post heirm. trop. desideratur Δ incipiens

Ἐξαίσιον ὄντως καὶ φρικτὸν
τὸ σὸν μαρτύριον,
Λογγῖνε, πέφυκε,
150 ὡς κατετόλμησας, ἅγιε,
ἐν μεγάλῃ παρρησίας φωνῇ
ἀνακηρῦξαι τὸν Χριστὸν
ἐσταυρωμένον, αὐτὸν υἱὸν θεοῦ,
μὴ πεφρικὼς τοῦ λαοῦ τὸν φονώδη θυμόν.

θεοτ. 155 Ὁ ἄναρχος ἄρχεται θεός,
ἑκὼν παχύνεται,
πτωχεύει πλούσιος ὢν
καὶ πάντα δέχεται ἄτρεπτος
διαμένων καὶ ἀσύγχυτος·
160 οὐ γὰρ ἐτράπη σαρκωθείς,
ἀλλ' ἦν καὶ ἔστι θεός, οὗ τυποῦντες
τὸ ἐμφερὲς τῆς σαρκὸς ἀσπαζόμεθα.

ᾠδὴ θ΄. *Λίθος ἀχειρότμητος ὄρους*

Λόφος σου κατέχει τὸ σῶμα
ἐντυμβευθὲν ὥσπερ προέθου,
165 ἀλλ' ἐν οὐρανῷ σου τὸ πνεῦμα
ἀγγέλοις θείοις ἐνδιαιτώμενον,
Λογγῖνε μάρτυς ἔνδοξε,
Χριστῷ παρίσταται ὡς ἄξιον.

Οὐκ εἶξας, θεράπον κυρίου,
170 τῶν φονευτῶν σου, συμπαθείᾳ
ὅλος γεγονὼς τοῦ θεοῦ γάρ,

---

heirm. θ΄ EE 94, n. 133, Joannis 155-162 in θεοτ. de incarnatione tractatur, cum virgo tantum simul audiatur 171 ὅλως

163-164 id. id. 737 F, § 10: ... ἐνδυσάμενος αὐτὴν (στολὴν) καὶ τῇ χειρὶ δείξας τὸν λόφον, ἐν ᾧ τὸ μακάριον αὐτοῦ σῶμα διετάξατο τεθῆναι, οὕτω τε τὸ γόνυ κάμψας χαίρων ... τὴν κεφαλὴν ἐκτέμνεται.

---

153 Matth. 27,54

προθύμως ὑπὲρ αὐτοῦ καὶ θανεῖν·
ᾧ παρεστὼς ἱκέτευε,
Λογγῖνε μάρτυς, τοῦ σωθῆναι ἡμᾶς.

175 Σμικρότητα, μάρτυς, ἀξίας
ἑκατοντάρχου καταλείψας,
νῦν μεγαλειότητα ἔχεις
καὶ εὐφημίαν καὶ παρρησίαν θεῷ,
ἐνταῦθα δοξαζόμενος
180 καὶ ἐκεῖσε ἀγαλλιώμενος.

θεοτ. Σωτῆρα κυήσασα λόγον
μετὰ σαρκός, θεομῆτορ,
πᾶσι σωτηρίαν βραβεύεις
τοῖς ἐν ἀνάγκαις ἐν σοὶ προστρέχουσιν·
185 διὸ καὶ νῦν τὴν δέησιν
τῆς προσευχῆς ἡμῶν ἐκπλήρωσον.

16 OCT. *CANON* XX

IN SANCTUM LONGINUM

Sinait. gr. 562 = Σφ, ff. 83-85
Paris. gr. 1619 = P, ff. 103v-105

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Χριστοῦ παθῶν σε, μάρτυς, ηὔγασεν θέα· Γεωργίου.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ὑγρὰν διοδεύσας ὡσεὶ ξηρὰν*

Χριστός σε ἀκτῖσι ταῖς νοηταῖς
ἐφώτισε, μάρτυς,
ἐννοοῦντα τὴν θεϊκὴν
τούτου ἐξουσίαν, δι' ἧς πάσχων
5 σαρκὶ τὴν κτίσιν διεδόνησεν.

Ῥημάτων τὸ σκότος τῶν ἀπειθῶν
ὑπερβάς, τῷ φέγγει
τῶν θαυμάτων τῶν θεϊκῶν
προσέγγισας, μάρτυς, καὶ ἀθλήσει
10 εἰς φῶς τὸ ἅγιον ἀνέδραμες.

Ἰσχύν σε καὶ κράτος τὰ τοῦ Χριστοῦ
πάθη, ἀθλοφόρε,
περιζώσαντα, δυνατὸν
ὁπλίτην ἀνέδειξε πορθοῦντα
15 τῶν θεοκτόνων τὴν παράταξιν.

---

heirm. α' EE 220, n. 315, Joannis 10 ἅγιον] ἄδυτον P

Σαλεύσας τὴν κτίσιν ὁ ποιητὴς
ἤδρασέ σε μάρτυς,
ἐν ἀγάπῃ τῇ ἑαυτοῦ
καὶ ἀπεριδόνητον ἀνδρείᾳ
f. 83ᵛ 20 ἐν τοῖς πα||λαίσμασιν ἀνέδειξεν.

θεοτ. Γεγόναμεν φύσεως κοινωνοὶ
τῆς θείας, παρθένε,
τῷ ἀχράντῳ σου τοκετῷ·
θεὸς γὰρ τὴν φύσιν τῶν ἀνθρώπων
25 ἐκ σοῦ ἀτρέπτως ἀνελάβετο.

ᾠδὴ β΄. *Πρόσεχε, οὐρανέ, καὶ λαλήσω*

Τέτρωται ὁ ἐχθρὸς ἐν καρδίᾳ
τὴν σὴν δεξάμενος
θεολογίαν ὡς λόγχην,
Λογγῖνε, καὶ τεθανάτωται.

30 Ὄμμασι νοητοῖς θεωρήσας
τοῦ σταυρωθέντος
Χριστοῦ τὴν ἀνόλεθρον φύσιν,
θεόν, μάρτυς, τοῦτον ὕμνησας.

Ὕδατα ἀσεβούντων ὁ μάρτυς
35 ὑπερνηξάμενος,
θεοσεβούντων λιμένα
κατέλαβε διὰ πίστεως.

θεοτ. Ἔχοντες ψυχικὸν ἰατρεῖον
σέ, θεονύμφευτε,
40 διὰ σοῦ τῶν ποικίλων
παθῶν ἀεὶ ἐκλυτρούμεθα.

16-20 om. P 21-25 θεοτ. om. P
odes β΄ om. P
heirm. β΄ EE 226, n. 324, Germani

---

33 Matth. 27,54; Marc. 15,39

ᾠδὴ γ΄. *Σὺ εἶ τὸ στερέωμα*

Πλοῦτον ἀναβλύσαντα
ἐκ τῆς πλευρᾶς Χριστοῦ, ἔνδοξε,
τὸν ζωηρὸν εἶδες καὶ τὰ τούτου
45 θεῖα νάματα ἤντλησας.

Ἄλυτος ἀγάπη σε
τοῦ ποιητοῦ Χριστοῦ ἔδησεν
τῇ ἀληθεῖ γνώσει τούτου, μάρτυς,
καὶ ἐνθέως συνήρμοσεν.

50 Θῦμα ὡς ὁλόκληρον
καὶ ὁλοκαύτωμα τέλειον
τῷ ὑπὲρ σοῦ καὶ πάντων τυθέντι
σαυτόν, μάρτυς, ἀνήνεγκας.

θεοτ. Ὤφθης ὑπερθαύμαστον
55 ἐν οὐρανῷ καὶ γῇ ἄκουσμα,
τὸν ποιητὴν πάντων καὶ δεσπότην,
θεοτόκε, κυήσασα.

ᾠδὴ δ΄. *Εἰσακήκοα, κύριε,*
τῆς οἰκονομίας σου τὸ μυστήριο

Ὡς ἀκτῖνες ἐκλάμψασαι
αἱ τοῦ παναγίου πνεύματος χάριτες,
60 σέ, Λογγῖνε, κατεφώτισαν
καὶ φωστῆρα κόσμου ἐφανέρωσαν.

Νεκρὸν κείμενον, ἔνδοξε,
βλέπων ὑπὸ πόδας τοῦ νεκρωθέντος σαρκὶ
τὸν πολέμιον, ἐκήρυξας
65 τὴν τοῦ πεπονθότος θείαν δύναμιν.

---

heirm. γ΄ EE 224, n. 321, Joannis 50 Θέμα P 51 ὁλοκάρπωμα P
54-57 θεοτ. om. P
heirm. δ΄ EE 225, n. 322, Cosmae

42-43 Joh. 19,34

Στερεώσας τὸ φρόνημα
ἐπὶ τὴν ἀσάλευτον πέτραν, ἔνδοξε,
ἀπερίτρεπτος διέμεινας
προσβολαῖς ἀθέων μὴ δονούμενος.

f. 84 70 ‖ Ἐν τοῖς ὅπλοις τῆς πίστεως
τὰς τῶν θεοκτόνων, μάρτυς, διέκοψας
παρατάξεις τε καὶ φάλαγγας,
καὶ λαμπρὸν κατ' αὐτῶν ἦρας τρόπαιον.

θεοτ. Ῥυπωθέντας τοῖς πάθεσι
75 πλῦνον, θεοτόκε, ταῖς ἱκεσίαις σου
καὶ ἀξίωσον ἡμᾶς καθαραῖς
διανοίαις ὑμνεῖν σου τὴν κύησιν.

ᾠδὴ ε'. *Φώτισον ἡμᾶς*

Μύρῳ νοητῷ
τοῦ Χριστοῦ τῷ θείῳ αἵματι
80 κεχρισμένος, μάρτυς ἔνδοξε,
τὴν τούτου γνῶσιν
εὐωδίασας τοῖς πέρασιν.

Ἄνω τῆς ψυχῆς
ἀνατείνας σου τὰ ὄμματα
85 πρὸς τὴν γνῶσιν τῆς θεότητος,
τῶν ὁρωμένων
τὴν πλάνην, μάρτυς, ἐξέφυγες.

Ῥήσεις προφητῶν
πληρουμένας ἐν τῷ πάθει Χριστοῦ
90 ἐννοήσας, μάρτυς ἔνδοξε,
τοῦ πεπονθότος
τὴν εὐδόκησιν ἀνύμνησας.

70-73 om. P 74-77 θεοτ. om. P
heirm. ε' EE 224, n. 321, Joannis 88-92 om. P

66-69 cf. Matth. 7,24-25; Luc. 6,48

θεοτ. Γνώσεως φωτὶ
κατελάμφθημεν τῷ τόκῳ σου,
95 θεοτόκε ἀειπάρθενε,
καὶ ἀθεΐας
τοῦ σκότους ἠλευθερώθημεν.

ᾠδὴ ς'. *Ἱλάσθητί μοι, σωτήρ,*

Τὸν ἄδυτον κατιδὼν
σταυρῷ κρεμάμενον ἥλιον
100 καὶ ἥλιον αἰσθητὸν
ἀκτῖνας συστέλλοντα,
διανοίας ὄμματα
ταῖς τοῦ σταυρωμένου
ἐφωτίσθης, μάρτυς, χάρισιν.

105 Ὑπέταξας τῷ νοῒ
ἀμφισβητήσεως ἔνστασιν
καὶ πίστεως ἀσφαλοῦς,
Λογγῖνε, ἐκράτυνας
διὰ τῆς ἀθλήσεως
110 καὶ ὁμολογίας
ἀναμφίβολον βεβαίωσιν.

Συνέθλασας ἀσεβῶν
ὡς κεφαλὰς τὰ βουλεύματα
καὶ ἀντιθέους φωνὰς
115 ὡς ξίφει διέκοψας,
ἀληθείας ῥήμασι
καὶ θεογνωσίας
ἀριστεύων, πανаοίδιμε.

θεοτ. Ἰάσασθαι διὰ σοῦ
120 τῆς φύσεως τὰ συντρίμματα
ὁ πλάστης καὶ ποιητὴς

93-97 θεοτ. om. P
heirm. ς' EE 220, n. 315, Joannis 112-118 om. P 119-125 θεοτ. om. P

---

101 Marc. 15,33; Luc. 23,44

θελήσας, παρέχετο
ἰατρεῖον θεῖόν σε
τοῖς ἐν ἀσθενείαις,
125 θεοτόκε, σοὶ προστρέχουσιν.

ᾠδὴ ζ'. *Οἱ ἐκ τῆς Ἰουδαίας*

Ἡ πολύφωτος χάρις
τῶν παθῶν σε τοῦ κτίστου,
μάρτυς, κατηύγασε
καὶ ἔδειξεν ἐν κόσμῳ
f. 84v 130 φωστῆρα, θείαν || αἴγλην
εὐσεβείας ἐκλάμποντα
καὶ διανοίας πιστῶν
ἐνθέως δᾳδουχοῦντα.

Ὑποτάξας τὸ ψεῦδος
135 τῇ Χριστοῦ ἀληθείᾳ,
Λογγῖνε ἔνδοξε,
ἐν λόγοις τε καὶ ἔργοις
ἐδείχθης εὐσεβείας
βραβευτὴς ἀναμέλπων Χριστῷ·
140 « ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

Γυμνωθεὶς τῶν παρόντων,
ἐνεδύσω τὴν ὄντως
δόξαν, ἀοίδιμε·
145 διὸ καὶ σὺν ἀγγέλοις
χορεύων ἀνακράζεις
τῷ δεσπότῃ τῆς κτίσεως·
« ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

---

heirm. ζ' EE 224, n. 321, Joannis   139 ἀναμέλπω P   147 δεσπότῃ] βασιλεῖ P

150 Ἀπεξήρανας, μάρτυς,
τοὺς χειμάρρους τῆς πλάνης
πυρὶ τοῦ πνεύματος
καί, νάματα σοφίας
τῆς γνώσεως τοῦ κτίστου
155 ἀναβλύζων, ἐκραύγαζες·
« ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

θεοτ. Ὁ ἐκ γῆς πλαστουργήσας
τῶν ἀνθρώπων τὴν φύσιν,
160 ὡς ποιητὴς καὶ θεός,
φθαρεῖσαν ἀναπλάττει
ἐκ σοῦ, θεογεννῆτορ,
ταύτην ἀναλαβόμενος
καὶ μυστικῆς ἀξιοῖ,
165 ἁγνή, υἱοθεσίας.

ᾠδὴ η'. *Ἑπταπλασίως κάμινον*

Σὺ νοητοῖς τοῖς ὄμμασι
τοῦ σαρκὶ ὁρωμένου θεοῦ
βλέπων ἀνυπέρβλητον
ἰσχύν, ἀνέδραμες
170 εἰς ὕψος τῆς γνώσεως
τῆς τούτου, μάρτυς ἔνδοξε,
καὶ ἐν καρτερίᾳ
ἐναθλῶν, ἀνεβόας·
« οἱ παῖδες εὐλογεῖτε,
175 ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Εὐαριθμήτου, ἔνδοξε,
στρατιᾶς καθηγούμενος

150-157 om P   158-165 θεοτ. om P
heirm. η' EE 219, n. 314, Joannis

180 ἐν ταῖς μυριάσι
τοῦ ἐχθροῦ ἠρίστευσας·
διὸ ἀναρίθμητα
τὰ πονηρὰ στρατεύματα
ἐν τῇ δυναστείᾳ
185 τοῦ Χριστοῦ ἐτροπώσω
[ἀπαύστως ἀνακράζων]·
« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

190 Νυκτομαχοῦσαν ἔλιπες
τῶν θεοκτόνων, ἔνδοξε,
τὴν συναγωγὴν
καὶ τὸν χορὸν κατέλαβες
τὸν αἴγλῃ τοῦ πνεύματος
195 καὶ ταῖς αὐτοῦ λαμπρότησιν
καταφαιδρυνόμενον
καὶ οὕτως βοῶντα·
« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
200 λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. Ὑπερφυὴς ὁ τόκος σου,
ὥσπερ ἐδείχθης, πάναγνε,
οὕτω καὶ ἡ χάρις
205 ὑπὲρ νοῦν θαυμάζεται
ἡ σὴ ἐν τοῖς πέρασι,
καινοπρεπῆ τελοῦσα ἀεὶ
θαύματα, δι' ὧν εὐεργετεῖ
τοὺς βοῶντας·
210 « οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

---

post v. 185 ἀπαύστως ἀνακράζων verba expungenda putavi manifeste e metro exulantia 202-213 θεοτ. om. P

ᾠδὴ θ΄. *Σὲ τὴν ἀπειρόγαμον*

Θέμενος τὸν ὕψιστον
215 καταφυγήν σου, ἀθλοφόρε,
f. 85 τῶν ‖ ἐπιβουλῶν ὑπέρτερος
τοῦ ἀλλοτρίου γέγονας·
θείᾳ γὰρ ἀγγέλων συνεργίᾳ φρουρούμενος,
ἐφυλάχθης ἐν ταῖς ὁδοῖς τοῦ μακαρίου σου.

220 Ἔτεμες τὸ βλάσφημον
τῶν θεοκτόνων Ἰουδαίων
τῆς θεολογίας ῥήμασιν
ὡς μαχαίρᾳ, ἀοίδιμε,
καὶ σὺν ἀποστόλοις τὸ τῆς πίστεως κήρυγμα
225 ἐν τῷ κόσμῳ, μάρτυς Λογγῖνε, κατετράνωσας.

Ἄϋλοι χορεῖαί σε
ἐκ τῶν ἐνύλων, ἀθλοφόρε,
ὡς τροπαιοφόρον σήμερον
εὐφροσύνης ἐδέξαντο,
230 ἀλλὰ σὺν αὐταῖς τὸν στεφοδότην ἱκέτευε
ὑπὲρ πάντων, Λογγῖνε μάρτυς, τῶν τιμώντων σε.

θεοτ. Ὕψωσον τὸ φρόνημα
τὸ τῆς ψυχῆς μου, θεοτόκε,
ἐκ τῶν χαμαιζήλων πράξεων
235 πρεσβείαις σου καὶ ποίησον
μόνα τὰ οὐράνια ζητεῖν καὶ ἀΐδια
καὶ ἀπαύστως ἐν παρρησίᾳ μεγαλύνειν σε.

---

heirm. θ' ΕΕ 220, n. 315, Joannis 226-231 om. P 230 αὐτοῖς Σφ
232-237 θεοτ. exstat etiam in P

17 OCT. *CANON* XXI

IN SANCTOS COSMAM DAMIANUM ANTHIMUM LEONTIUM ET EUPREPIUM

Synaxarium, 144-146: ..... μνήμη τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ καὶ τῶν σὺν αὐτοῖς ἑτέρων τριῶν ἀδελφῶν Ἀνθίμου, Λέοντος καὶ Εὐπρεπίου. Ἰστέον ὅτι τρεῖς εἰσι συζυγίαι ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, ἀμφοτέρων τοῖς αὐτοῖς ὀνόμασι καλουμένων καὶ τὴν ἰατρικὴν μετερχομένων καὶ τὴν προσηγορίαν τῆς ἀναργυρίας ἐχόντων. Οἱ μὲν γὰρ..... Οἱ δὲ, ὧν καὶ ἡ παροῦσα μνήμη, ὑπῆρχον ἐκ τῆς Ἀραβίας, ὄντες ἀδελφοὶ κατὰ σάρκα, τὴν ἰατρικὴν μετερχόμενοι τέχνην καὶ πολλοὺς θεραπεύοντες· ἐπὶ Διοκλητιανοῦ δὲ καὶ Μαξιμιανοῦ συλληφθέντες ἐν τῇ Λυκίᾳ, παρέστησαν τῷ Λυσίᾳ ..... καὶ παρρησίᾳ ὁμολογήσαντες τὸν Χριστὸν δεσμοῦνται χεῖρας καὶ πόδας καὶ εἰς τὴν θάλασσαν βάλλονται· ἀφ' ἧς ἀγγέλου ἐπιφανέντος διασῴζονται. Εἶτα ἐξαφθείσης πυρᾶς εἰς μέσον ὠθοῦνται καὶ παραδόξως ῥαγείσης τῆς γῆς ὑπεισέρχονται· καὶ τῆς πυρᾶς ἀπομαρανθείσης αὖθις ἀνέρχονται, τῶν συμπεσόντων μερῶν ἐν τῷ εἰσελθεῖν αὐτοὺς τῆς γῆς αὖθις διαιρεθέντων. Καὶ σταυρωθέντες βάλλονται λίθοις, τῶν πεμπομένων λίθων εἰς τοὺς βάλλοντας ἀντιστρεφομένων, ταὐτὸ τοῦτο καὶ ἐν τῷ τοξεύεσθαι πασχόντων τῶν τοξευόντων, ὡς πολλοὺς ἐξ αὐτῶν ἀναιρεθῆναι καὶ ῥύακας αἵματος ἐκχυθῆναι. Ἀπορηθέντος οὖν ἐπὶ τούτοις τοῦ ἡγεμόνος, τὴν τελευταίαν διὰ ξίφους δέχονται μαρτυρίαν, σὺν τοῖς ἀκολουθοῦσιν αὐτοῖς τρισὶν ἀδελφοῖς Ἀνθίμῳ, Λεοντίῳ καὶ Εὐπρεπίῳ.

Vat. gr. 2	= V,	ff.	43v-45v
Crypt. Δ.α. XIII	= Cc,	ff.	19-21
Paris. gr. 267	= Ra,	pp.	275-282
Sabait. gr. 10	= Jh,	ff.	58v-59v

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Τὴν αὐτάδελφον αἰνέσωμεν πεντάδα· Ἰωσήφ.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἡ κεκομμένη τὴν ἄτομον ἔτεμε*

Ταῖς ἀνωτάταις συνόντες δυνάμεσι
καὶ σὺν αὐταῖς τῷ θεῷ
πόθῳ παριστάμενοι

Cc canonem mutilum praebet, qui inc. ab ode ε' (f. 19)
heirm. α' EE 220, n. 316, Joannis   1 ἀνωτάταις] οὐρανίαις Ra Jh

καὶ θείας ἡδονῆς
5 ἀεὶ ἀποπληρούμενοι,
τοὺς πόθῳ ἑορτάζοντας ὑμῶν
τὴν μνήμην τὴν πανίερον,
μάρτυρες πανεύφημοι,
κινδύνων διασώσατε.

10 Ἡ θεία μνήμη ὑμῶν ἀνατείλασα
τὰς διανοίας ἡμῶν
καταυγάζει, μάρτυρες·
ἡμέρας γὰρ υἱοὶ
τῆς ἀνεσπέρου ὤφθητε,
15 τὰ ἔργα τοῦ φωτὸς ἐπὶ τῆς γῆς
πανσόφως ἐκτελέσαντες,
ἰατροὶ πανθαύμαστοι,
θαυματουργοὶ μακάριοι.

Νόσου παντοίας Χριστοῦ ἐπικλήσεσι,
20 πόλεις καὶ χώρας, σοφοί,
πλείστας διερχόμενοι,
ἰᾶσθε τὰς ψυχὰς
ἀνθρώπων καὶ φωτίζετε
διδάσκοντες αὐτοὺς περιφανῶς
25 τριάδα σέβειν ἄκτιστον·
ὅθεν ἐναθλήσαντες
νομίμως ἐδοξάσθητε.

θεοτ. Ἁγνὴ παρθένε, μαρτύρων κραταίωμα,
ἀνθρώπων ἁμαρτωλῶν
30 ἅγιον ἐξίλασμα,
πρεσβείαν ἐκτενῆ
πρὸς τὸν υἱόν σου ποίησον
τοῦ φείσασθαι ἡμῶν τῶν ταπεινῶν
ἐν ὥρᾳ τῆς ἐτάσεως,
35 ὅπως σε δοξάζωμεν
καὶ πόθῳ μακαρίζωμεν.

17 πανάριστοι Ra   19 Νόσους Jh   22-23 om. Ra   28 κραταίωμα] τὸ καύχημα Ra   29 ἁμαρτωλῶν ἀληθῶς Ra   36 πόθῳ] πίστει Ra

ᾠδὴ γ'. *Σὺ εἶ τὸ στερέωμα*

Ὕψος πρὸς περίδοξον
τὸ τῆς ἀθλήσεως φθάσαντες,
τὰς τοῦ ἐχθροῦ, μάρτυρες, ἐπάρσεις
f. 44 40 ‖ παντελῶς ἠφανίσατε.

Τείνας ὁ παράνομος
ἀνηλεῶς ὑμῶν, μάρτυρες,
τὰ ἱερὰ σώματα, συντρίβει
ἀνυποίστοις κολάσεσιν.

45 Ἄνοσον φυλάξαντες
τὸν λογισμόν, σεπτοὶ μάρτυρες,
καὶ τὴν ψυχήν, νόσους ἐπικλήσει
τοῦ Χριστοῦ θεραπεύετε.

θεοτ. Δέσποινα πανάμωμε,
50 ἡ τὸν πανάγαθον κύριον
ἐπὶ τῆς γῆς λόγῳ ἀπορρήτῳ
σωματώσασα, σῶσόν με.

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*
τῆς οἰκονομίας σου τὸ μυστήριον

Ἐδεσμεύθητε, μάρτυρες,
εἰς βυθὸν θαλάσσης ἀπορριπτόμενοι,
55 μηδαμῶς δὲ βυθιζόμενοι
ἐν αὐτοῖς τὸν ὄφιν ἀπεπνίξατε.

Λαμπρυνθείσῃ, μακάριοι,
χάριτι τῇ θείᾳ, ἅγιοι ἄγγελοι
οὐρανόθεν εἰς βοήθειαν
60 ὑμῖν παραδόξως ἀπεστάλησαν.

---

heirm. γ' EE 224, n. 321, Joannis 46 σεπτοὶ] ὑμῶν σεπτοὶ Ra
47 καὶ τὴν ψυχὴν] τὰς τῶν βροτῶν Ra
heirm. δ' EE 225, n. 322, Cosmae 57 λαμπρυνθῆς V 58 τῆς θείας Ra

Φωταυγίᾳ τοῦ πνεύματος
σκότος τὸ βαθύτατον τῶν κολάσεων
διελθόντες, Χριστομάρτυρες,
νοεροὶ φωστῆρες ἡμῶν ὤφθητε.

65 Οὓς ἡ χάρις κατέστεψεν
Ἄνθιμον, Λεόντιον καὶ Εὐπρέπιον,
τὸν κλεινὸν Δαμιανὸν καὶ Κοσμᾶν
αὐταδέλφους ὄντας μακαρίσωμεν.

θεοτ. Νυσταγμῷ ἀμελείας με
70 ὕπνος ἁμαρτίας, κόρη, κατέλαβε·
τῇ ἀγρύπνῳ ἱκεσίᾳ σου
διανάστησόν με πρὸς μετάνοιαν.

ᾠδὴ ε'. *Ἵνα τί με ἀπώσω*

Ἀπονοίᾳ τὸν πλάνον
ἤδη σκοτιζόμενον, πνεύμασι κάτοχον
75 πονηροῖς ὀφθέντα
καὶ δεινῶς ὑπ' αὐτῶν μαστιζόμενον,
ἀθληταί, λυτροῦσθε.
Ἀλλ' οὐ συνῆκε· διὰ τοῦτο
τιμωρίαις ὑμᾶς καθυπέβαλεν.

80 Ἱερεῖα καθάπερ
ἄμωμα καὶ τέλεια θεῷ προσήχθητε
τῷ σφαγιασθέντι
καὶ θανάτῳ τὸν θάνατον κτείναντι,
ἀθλοφόροι θεῖοι,
85 θαυματουργοὶ καὶ ἰατῆρες,
τῶν ἁγίων ἀγγέλων συνόμιλοι.

Νεκρωθέντες τῷ κόσμῳ
πόνων ἐπιδόσεσι, κατεκληρώσασθε

61-64 troparium om. V Jh 64 ὑμῶν V
heirm. ε' EE 219, n. 314, Joannis 74 πνεύματι VRa 75 πονηρῶς VRa
76 μαστιζόμενον] παιδευόμενον Cc Jh 86 τῶν ψυχῶν καὶ σωμάτων ὑπάρχοντες Ra
87 τῷ κόσμῳ] τὸ σῶμα Cc Jh

τὴν ἀθανασίαν
90 καὶ τὴν ἄπονον λῆξιν, μακάριοι,
καὶ νῦν πάντα πόνον
ἐκ τῶν ψυχῶν καὶ τῶν σωμάτων
τῶν ὑμῖν προστρεχόντων κουφίζετε.

θεοτ. Ἐπὶ σοί, παναγία,
95 πᾶσαν τὴν ἐλπίδα μου προσανατίθημι·
βοηθὸς γενοῦ μοι
θαλαττεύοντι βίου τῷ κλύδωνι
καὶ κυβέρνησόν με
f. 44ᵛ πρὸς ‖ σωτηρίους τοὺς λιμένας,
100 ἵνα πίστει καὶ πόθῳ δοξάζω σε.

ᾠδὴ ς′. *Τὴν δέησιν ἐκχεῶ πρὸς κύριον*

Στρεβλούμενοι διελύσατε πάσας
διαβόλου, ἀθλοφόροι, τὰς στρέβλας
καὶ ἐν φρουρᾷ
συγκλειόμενοι ἅμα,
105 ὡς προσταγμάτων θεοῦ ὄντες φύλακες,
ἀήττητοι καὶ φωταυγεῖς
ἀπεφάνθητε χάριτι, μάρτυρες.

Ὡς μέγιστοι ἐγνωσμένοι φωστῆρες
ἐν τῷ ὕψει τῆς Χριστοῦ ἐκκλησίας,
110 πᾶσαν τὴν γῆν
φρυκτωρίαις θαυμάτων
καὶ τῶν ἀγώνων φωτίζετε λάμψεσι,
διώκοντες τὴν πονηράν,
ἀθλοφόροι, δαιμόνων σκοτόμαιναν.

115 Μυρίπνοοι γεγονότες ἀγώνων
ἐπιδόσεσι, σεπτοὶ ἀθλοφόροι,
μύρον ἡμῖν
ἰαμάτων εὐῶδες

97 θαλαττέβοντας Ra, βία Cc 99 σωτηρίας Cc heirm. ς′ EE 219, n. 314, Joannis 101 πᾶσαν Ra 115 πυρίπνοοι Jh 118 εὐῶδες om. V

ἀναπηγάζετε, ἀποκαθαίροντες
120 δυσώδη σωμάτων καὶ ψυχῶν
τὰ ἀνίατα πάθη, μακάριοι.

θεοτ. Ἐποίησε μετὰ σοῦ μεγαλεῖα
ὁ ἀρρήτως γεννηθεὶς ἐκ γαστρός σου
λόγος πατρός,
125 θεοτόκε παρθένε,
καὶ τῶν βροτῶν τὴν οὐσίαν ἐθέωσεν·
ὃν αἴτησαι πάντας ἡμᾶς
οἰκτειρῆσαι καὶ σῶσαι, πανάμωμε.

ᾠδὴ ζ′. *Παῖδες Ἑβραίων ἐν καμίνῳ*

Νόμους τοὺς θείους συντηροῦντες,
130 ὑπεισήλθετε ἀπτόητοι τὴν φλόγα·
ὡς παῖδες τὸ πρὶν
μηδόλως φλογισθέντες
ἐμελῳδεῖτε, μάρτυρες·
« ὁ θεός, εὐλογητὸς εἶ ».

135 Πῦρ ὑπελθόντας ἀπτοήτως,
γῆ διέσωσεν ὡς ἐγκολπωσαμένη
εὐχομένους ὑμᾶς
καὶ πόθῳ μελῳδοῦντας·
« εὐλογητὸς εἶ, κύριε
140 ὁ θεός, εἰς τοὺς αἰῶνας ».

Ἔνδον ἡ φλὸξ ὑμᾶς λαβοῦσα
οὐ κατέφλεξε, τοὺς δὲ περιεστῶτας
δυσσεβεῖς θανατοῖ,

119 ῥύπον ἀνακαθαίροντες Ra 122-128 aliud θεοτ. in Cc, quod inc. Ἐπέβλεψεν ἐπὶ σὲ . . . , ed. MR I, 458 heirm. ζ′ EE 220, n. 315, Joannis 130 ὑπησήλθατε V 131 τὸ] δὲ Cc 132 φλογιασθέντες Cc 135 ὑπελθόντες V Ra 137 εὐχομένων ὑμῶν V 138 μελωδούντων V 142 κατέφλεξε] κατέκαυσε Cc 143 θανατοῖς Ra

131 ss. Dan. 3,23-24

ὑμῶν ἀναβοώντων·
145 « εὐλογητὸς εἶ, κύριε,
ὁ θεὸς εἰς τοὺς αἰῶνας ».

θεοτ. Νόμοι ἐν σοὶ καινοτομοῦνται,
παναμώμητε· θεὸν γὰρ νομοδότην
δι' ἡμᾶς καθ' ἡμᾶς
150 ὀφθέντα ἀποτίκτεις,
ᾧ μελῳδοῦμεν· « κύριε,
ὁ θεὸς εὐλογητὸς εἶ ».

ᾠδὴ η'. *Ἑπταπλασίως κάμινον*

Τῷ γλυκυτάτῳ ἔρωτι
τοῦ θεοῦ ἐνηδόμενοι,
155 ξύλῳ προσδεθέντες καὶ δεινῶς ξεόμενοι
οὐδόλως ἡττήθητε,
οὐ τοῖς ξοάνοις ἄλογον
σέβας, ἀθλοφόροι, προσενείματε ὅλως
κυρίῳ μελῳδοῦντες·
160 « ἱερεῖς εὐλογεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

f. 45 ‖ Ἀπ' οὐρανοῦ ἀφίκετο
ἐπουράνιος ἄγγελος
165 πόνους τοὺς ὑμῖν ἐπαγομένους, μάρτυρες,
κουφίζων ἐν χάριτι
καὶ ὑπηρέτας τοὺς δυσσεβεῖς
ἐναπονεκρῶν καὶ παρειμένους δεικνύων,
πανεύφημοι ὁπλῖται,
170 ἀθληταὶ τοῦ σωτῆρος,
φωστῆρες οἰκουμένης,
τῆς ἐκκλησίας πύργοι.

---

151 κύριε] κράζοντες Cc
heirm. η' EE 219, n. 314, Joannis 160 εὐλογεῖτε] ἀνυμνεῖτε Ra
165 τοὺς] τῆς Ra 168 παρημένους Jh 172 πύργοι] στύλοι Jh

Δαμιανὸν τιμήσωμεν
καὶ Κοσμᾶν τοὺς θεόφρονας
175 καὶ σὺν Λεοντίῳ τὸν κλεινὸν Εὐπρέπιον
καὶ Ἄνθιμον σήμερον
πανευλαβῶς δοξάσωμεν,
θείους αὐταδέλφους καὶ γενναίους ὁπλίτας
ὑπάρχοντας καὶ πᾶσαν
180 τοῦ ἐχθροῦ τὴν κακίαν
συντρίψαντας καὶ νίκης
βραβεῖα ἀραμένους.

θεοτ. Αἱ περὶ σοῦ ᾀδόμεναι
προφητεῖαι, πανάμωμε,
185 ἔλαβον τὸ πέρας· Ἰησοῦν γὰρ τέτοκας
τὸν προφητευόμενον,
ὃν ἐκτενῶς ἱκέτευε
ἀπὸ ἁμαρτίας καὶ παθῶν ἀτιμίας
ῥυσθῆναι τοὺς βοῶντας·
190 « ἱερεῖς εὐλογεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός*

Ἰκρίῳ προσπαγέντες δεσποτικῶν
μιμηταὶ παθημάτων γεγόνατε,
195 Δαμιανὲ
μάρτυς ἀξιάγαστε καὶ Κοσμᾶ,
ἐν ᾧ λιθολευστούμενοι
μένετε ἐν πνεύματι ἀσινεῖς,
αὐτῶν τῶν λιθαζόντων
200 τὰς ὄψεις παραδόξως
συντριβομένων νεύσει κρείττονι.

Ὠράθη θαῦμα μέγα· οἱ ἀπηνῶς
καθ' ὑμῶν γὰρ τὰ βέλη ἐκπέμποντες
νεύσει θεοῦ

---

heirm. θ' EE 220, n. 314, Joannis

183-185 Is. 1,3.-7,14; Mich. 5,2

205 μᾶλλον κατακόπτουσιν ἑαυτούς,
τοῦ παναγίου πνεύματος
σώους, ἀπημάντους ὑμᾶς, σοφοί,
καλῶς διατηροῦντος,
νομίμως ἐναθλοῦντας
210 καὶ τὴν ἀπάτην στηλιτεύοντας.

Συνήφθητε χορείαις ἀγγελικαῖς
κεφαλὰς ὑποθέντες τοῖς ξίφεσι,
Δαμιανὲ
μάρτυς ἀξιέπαινε καὶ Κοσμᾶ·
215 ὅθεν ὑμᾶς γεραίρομεν
καὶ τὴν φωτοφόρον μνήμην ὑμῶν
ἐν πίστει ἐκτελοῦμεν,
σεπταῖς ὑμῶν πρεσβείαις
λύσιν πταισμάτων κομιζόμενοι.

220 Ἡ θεία καὶ θεόπνευστος ξυνωρὶς
τῶν ἁγίων μαρτύρων ἱκέτευε
τὸν ἀγαθόν,
ὅπως διασώσῃ πάντας ἡμᾶς
ἐπερχομένων θλίψεων
f. 45v 225 ‖καὶ τῶν ἀοράτων ἡμῖν ἐχθρῶν
ἀεὶ ἐπερχομένων
καὶ μάτην ἐκζητούντων
θεοτ. τοῦ θανατῶσαι τὰς ψυχὰς ἡμῶν.

Φορέσας με προῆλθεν ἐκ σοῦ Χριστὸς
230 καὶ δι' οἶκτον ἐγένετο ἄνθρωπος,
τοὺς εἰς φθορὰν
ἤδη ὀλισθήσαντας τοῖς αὐτοῦ
πρὸς ἀφθαρσίαν πάθεσι
πάλιν ἐπανάγων ὡς ἀγαθός,
235 παρθένε θεοτόκε·
ὃν πάντοτε δυσώπει
τοῦ οἰκτειρῆσαι τὰς ψυχὰς ἡμῶν.

---

208 διατηροῦντες Ra 211-219 om. Jh 214 ἀξιέπαινε] ἀξιάγαστε Ra 223 ὑμᾶς Cc 225 ἡμῖν] νυνὶ VRa Jh 226 ἐπερχομένων] ἐπεμβαινόντων Cc

IN SANCTUM LUCAM EV.

Synaxarium, 147-148: Μνήμη τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Λουκᾶ. Οὗτος ὑπῆρχεν ἀπὸ Ἀντιοχείας τῆς μεγάλης, ἰατρὸς τὴν τέχνην καὶ ἄκρος τὴν ζωγραφικὴν ἐπιστήμην. Ἀκούων δὲ περὶ τῆς ἐν Ἱεροσολύμοις διατριβῆς τοῦ Χριστοῦ καὶ περὶ τῶν αὐτοῦ παραδόξων θαυμάτων, καταλιπὼν τὴν Ἀντιόχειαν ἐνεδήμησε τοῖς ἐν Ἱεροσολύμοις, καὶ γνήσιος μαθητὴς τοῦ Χριστοῦ ἐχρημάτισε. Μετὰ δὲ τὴν τοῦ Κυρίου ἀνάληψιν, συνέκδημος καταστὰς τοῦ Παύλου, συνεγράψατο τὸ κατ' αὐτὸν εὐαγγέλιον· ἔπειτα καὶ τὰς πράξεις τῶν ἀποστόλων. Ἐν ταῖς Θήβαις δὲ ταῖς ἑπταπύλαις τῆς Βοιωτίας ἀρχιερεὺς ὑπὸ τοῦ ἁγίου προχειρισθεὶς πνεύματος, καὶ περὶ τὰ ὀγδοήκοντα ἐφθακὼς ἔτη, ἐν εἰρήνῃ τελειοῦται.

Crypt. Δ.α. XIII = Cc, ff. 28v-31

Ἕτερος κανὼν τοῦ ἁγίου ἀποστόλου Λουκᾶ.

Ἦχος γ'.

ᾠδὴ α'. *Βοηθὸς καὶ σκεπαστής*

Τὸν συγγραφέα τῶν σοφῶν,
τῶν θεηγόρων εὐαγγελίων
ὕμνοις, οἱ πιστοί, εὐφημήσωμεν.

Τὸν ἀπόστολον Χριστοῦ,
5 τὸν μέγαν μύστην τῶν ἀπορρήτων
ᾄσμασιν, οἱ λαοί, ἀνυμνήσωμεν.

Ὡς προκηρύξαντα ἡμῖν
τὸ εὐαγγέλιον τοῦ σωτῆρος,
τιμήσωμεν Λουκᾶν τὸν ἀπόστολον.

---

tit. in margine externo Γερμανοῦ notatur
heirm. α' ΕΕ 79, n. 112, Germani

10 Ὡς εὐσεβείας ἰατρὸν
ψυχῶν φανέντα καὶ τῶν σωμάτων,
τιμήσωμεν Λουκᾶν τὸν ἀπόστολον.

τριαδ. Ἓν καὶ τὰ τρία ἀνυμνῶ
τὸ μὲν τῇ φύσει, τὸ δὲ τοῖς προσώποις,
15 οὗτός μου θεός, τὸ τρισήλιον φῶς.

θεοτ. Θεοτόκε, ἡ ἐλπὶς
καὶ προστασία τῶν σὲ ὑμνούντων,
δυσώπησον Χριστὸν τοῦ σωθῆναι ἡμᾶς.

ᾠδὴ β'. *Πρόσεχε, - οὐρανέ, καὶ λαλήσω*

Διδάσκαλος
20 τῆς οἰκουμένης ἐδείχθης,
f. 29 τριάδα ‖ πᾶσιν,
ἀπόστολε, κηρύξας.

Τῆς γλώττης σου
τὴν σαγήνην ἁπλώσας,
25 τὴν οἰκουμένην
ἐζώγρησας, θεόφρον.

Κατηύγασας
πᾶσαν τὴν οἰκουμένην
ταῖς διδαχαῖς σου,
30 ἀπόστολε κυρίου.

Εἱρμὸς ἄλλος. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι ὁ σωτὴρ τοῦ κόσμου

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι ὁ τὸν μαθητήν μου
θαυμαστώσας ἐπὶ γῆς
καὶ δι' αὐτοῦ τῶν ἀσθενούντων τὰ πάθη ἰώμενος.

---

heirm. β' EE 78, n. 110, Germani
heirm. alter EE 78, n. 111, Germani

35 Δόξα σοι, δόξα σοι
ὁ τὸν σοφὸν ἀπόστολον ἐν τῇ οἰκουμένῃ
ἀναδείξας φωστῆρα
καταλάμποντα ἡμῖν τὸ σωτήριον κήρυγμα.

τριαδ. Τριάδα δοξάσωμεν
40 ἐν μονάδι θεότητος, θεὸν πατέρα ἄναρχον,
<καὶ υἱὸν συνάναρχον>
θεὸν ἅγιον πνεῦμα ἐν μιᾷ οὐσιότητι.

θεοτ. Δυσώπησον ἀπαύστως
τὸν σωτῆρα, πανύμνητε, τοὺς σὲ θεοτόκον
45 στόματί τε καὶ ψυχῇ
ὁμολογοῦντας ἐκ πάσης ῥυσθῆναι κατακρίσεως.

ᾠδὴ γ'. *Στερέωσόν με, κύριε*

Ἀξίως εὐφημήσωμεν
τὸν ἔνδοξον ἀπόστολον
Λουκᾶν, τὸν τὰς ἰάσεις
50 ἐνεργοῦντα ἐν τοῖς πέρασιν.

Καλάμῳ συγγραψάμενος
τὸ θεῖον εὐαγγέλιον,
ἐπλούτισας τὸν κόσμον
τῆς ἐνθέου ἐπιγνώσεως.

55 Τοὺς πόθῳ ἑορτάζοντας
τὴν μνήμην σου, ἀπόστολε,
ἱκέτευε σωθῆναι
ἀπὸ πάσης περιστάσεως.

τριαδ. — ́ — — — ́ — —
60 — ́ — — — ́ — —
— ́ — — — ́ —
— — ́ — — — ́ — —

---

41 versus om. καὶ υἱὸν ... sic complere putavimus
heirm. γ' EE 76, n. 108, Andreae 59-62 τριαδ. om. quamquam spatium reservatum in cd.

θεοτ. Ὑμνήσωμεν τὴν ἄχραντον
ὡς μόνην ἐν γαστρὶ αὐτῆς
65 χωρήσασαν τὸν κτίστην
καὶ παρθένον διαμείνασαν.

ᾠδὴ δ'. *Τὴν ἀκοήν σου, κύριε, εἰσακήκοα καὶ ἐφοβήθην*

« Ἄπερ - φησὶν - ἑώρακα,
καὶ αἱ χεῖρές μου ἔγραψαν ταῦτα·
ἃ ἔμαθον καὶ ἀκούσας νῦν ἐδιδάχθην
70 αὐτὰ κηρύττω, αὐτὰ καὶ διδάσκω »,
ὁ ἀπόστολος πᾶσιν
ἐβόα τοῖς ἔθνεσιν.

f. 29v ‖ Τὸν τοῦ Χριστοῦ ἀπόστολον
ἀνυμνήσωμεν Λουκᾶν συμφώνως·
75 πρεσβεύει γὰρ ἐκτενῶς ἀεὶ τῷ σωτῆρι
τοῦ λυτρωθῆναι φθορᾶς καὶ κινδύνων
τοὺς ἐν πίστει τελοῦντας
τὴν πάνσεπτον μνήμην αὐτοῦ.

Εἱρμὸς ἄλλος. *Εἰσακήκοα, κύριε,*

Ὡς πανεύφημον ῥήτορα
80 τῶν θεηγόρων εὐαγγελίων
δυσωποῦμέν σε, ἀπόστολε,
ἐν ταῖς σαῖς εὐχαῖς πρὸς θεὸν στηριχθῆναι ἡμᾶς.

Ὡς θεόκλητον κήρυκα
τῆς κατὰ σάρκα οἰκονομίας
85 τοῦ σωτῆρος καὶ θεοῦ ἡμῶν,
τὸν ἀπόστολον, πιστοί, εὐφημήσωμεν. *

---

65 χωρεύσασαν 66 παρθένος 68 ταῦτα] ἀῦτα 69 ἐδιδάχθης
heirm. δ' EE 79, n. 111, Germani
heirm. alter in πλ. γ' om. EE, apud ἦχ. δ' EE 95, πλ. β' 168, πλ. γ' 231 invenitur

---

67-70 Luc. 1,13-4

τριαδ. Ὑπεράρχιε, σύμμορφε,
πανσθενεστάτη τριὰς ἁγία,
Πάτερ, λόγε, πνεῦμα ἅγιον,
90 θεὲ πάντων, φῶς καὶ ζωή, φύλαττε τοὺς δούλους σου.

θεοτ. Τὸ μυστήριον, ἄχραντε,
τῆς ὑπὲρ λόγον κυήσεώς σου
τὰ οὐράνια κατέπληξε
καὶ ἐφώτισε μυστικῶς τὰ ἐπίγεια.

ᾠδὴ ε'. *Ὀρθρίζει τὸ πνεῦμά μου*

95 Λουκᾶν τὸν θεόκλητον ἀπόστολον
τιμῶντες, πιστοί, ἐν ᾠδαῖς καταχρέως
δοξάσωμεν ὡς κήρυκα
καὶ εὐαγγελιστὴν τοῦ Χριστοῦ.

Εἰς πᾶσαν ὡς ἀληθῶς ἐξῆλθε τὴν γῆν
100 ὁ φθόγγος τῶν σῶν διδαγμάτων, μαθητά,
καὶ κόσμον ἐλυτρώσατο
τῆς ἀθεΐας, ἔνδοξε.

Τῇ δρόσῳ τῶν λόγων σου, ἀπόστολε,
τὴν ἄκαρπον γῆν τῶν ἐθνῶν τῶν ἀπίστων
105 κατάκομον ἀνέδειξας
καρπῶν τῆς εὐσεβείας Χριστοῦ.

τριαδ. Ὁ ἐπὶ πάντων θεός, ἁγία τριάς,
ἀνυμνοῦμέν σε οὐσιότητι μιᾷ,
ἀρχὴν καὶ κυριότητα,
110 φῶτα καὶ φῶς, ζωὴν καὶ ζωάς.

θεοτ. Παρθένε, μὴ παύσῃ ἱκετεύουσα
θεόν, τὸν ἐκ σοῦ γεννηθέντα ἐν σαρκί,
λυτρώσασθαι τοὺς δούλους σου
ἐκ πάσης περιστάσεως.

---

90 v. duabus syll. abundat
heirm. ε' EE 79, n. 111, Germani, hic ubique aliquantum dissimilis
106 καρπὸν

99-100 Ps. 18,4 (5)

ᾠδὴ ϛ'. *Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων*

f. 30 115 ‖ Ὡς ὁ προφήτης ἐμελῴδησεν,
ἐπεβίβασέ σε κύριος
ἐν τῇ θαλάσσῃ μυστικῶς
τῇ τοῦ βίου συνταράσσοντα,
ἀπόστολε, τὴν πλάνην
120 καὶ πρὸς ζωῆς
λιμένας τοὺς γηγενεῖς περαιοῦντα.

Τοὺς τῷ βυθῷ τῆς ἀθεΐας
καταδύσαντας, ἀπόστολε,
ἀντὶ ἰχθύων ἐν ταῖς σαῖς
125 διδαχαῖς ἀνελκυσάμενος,
προσήγαγες βοῶντας·
« σῶσον, σωτήρ,
ὡς ἔσωσας τοῦ θηρὸς τὸν προφήτην ».

Αἱ τῶν ἀγγέλων καὶ ἀνθρώπων
130 ἐπευφραίνονται χορεῖαι
ἐπὶ τῇ μνήμῃ σου, σοφὲ
μαθητὰ ἀξιοθαύμαστε,
καὶ πίστει ἐκβοῶσιν·
« σῶσον, σωτήρ,
135 ὡς ἔσωσας Ἰωνᾶν τὸν προφήτην ».

τριαδ. Πατέρα ἅγιον δοξάζω
καὶ υἱὸν ἅγιον σέβω
καὶ πνεῦμα ἅγιον ὑμνῶ,
ὁμοούσιον τριάδα ἁπλῆν,
140 θεὸν ἕκαστον τούτων,
φῶτα καὶ φῶς
ὡς ἐξ ἡλίου ἑνὸς συνδοξάζω.

θεοτ. Τὸν εἰς τὸ πλήρωμα τοῦ χρόνου
γεννηθέντα ἐκ παρθένου θεὸν

---

heirm. ϛ' EE 78, n. 110, Germani

116-121 Abac. 3,15 127-128; 134-135; 148-149 Jon. 2,3-10; sed vide Luc. 11,29-32

145 καὶ ἐκ δουλείας καὶ φθορᾶς
λυτρωσάμενον τὸ γένος ἡμῶν
ὑμνοῦμεν καὶ βοῶμεν·
« σῶσον, σωτήρ,
ὡς ἔσωσας τοῦ θηρὸς τὸν προφήτην ».

ᾠδὴ ζ'. *Τρεῖς παῖδες ἐν καμίνῳ*

150 Λουκᾶν τὸν θεηγόρον
τοῦ Χριστοῦ καὶ ἀπόστολον
εὐφημήσωμεν, πιστοί, καὶ δοξάσωμεν
ὡς αὐτόπτην τοῦ λόγου
καὶ τῆς ἐνθέου μαθητὴν
155 οἰκονομίας αὐτοῦ.

Τὴν κάμινον τῆς πλάνης
κατασβέσας, ἀπόστολε,
εὐσεβείας πῦρ ἀνῆψας ταῖς ψυχαῖς ἡμῶν,
καὶ συμφώνως βοῶμεν·
160 « εὐλογητὸς εἶ, ὁ θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Ἐπήγασεν ἐν κόσμῳ
τῶν θαυμάτων τὰ νάματα,
τὴν ἀσέβειαν πατήσας ὁ ἀπόστολος,
165 καὶ εὐσεβῶς ἀνυμνοῦμεν
τριάδα ὁμοούσιον
καὶ ἀδιαίρετον.

f. 30v Τὰ τραύματα τῆς πλάνης
θεοπνεύστοις ‖ διδάγμασιν
170 ἰασάμενος, ἐν πίστει ὁ ἀπόστολος
πάντας ἐδίδαξε κράζειν·
« εὐλογητὸς εἶ, ὁ θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

τριαδ. Μονάδα τῇ οὐσίᾳ
175 καὶ τριάδα προσώποις σε,

---

heirm. ζ' EE 79, n. 111, Germani 171 πάντα

---

153 Luc. 1,3

τὸν πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον
ἀνυμνῶν, ἀνακράζω·
« εὐλογητὸς εἶ, ὁ θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. 180 Ἐτέχθης ἐκ παρθένου
ὡς εὐδόκησας, κύριε,
καὶ ἐρρύσω ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν·
διὰ τοῦτο βοῶμεν·
« εὐλογητὸς εἶ ὁ θεὸς
185 ὁ τῶν πατέρων ἡμῶν ».

ᾠδὴ η'. *Τὸν ἐξ ἀνάρχου τοῦ πατρὸς*

Τὸν ἐκδιώξαντα Χριστὸν
τὴν τῆς πλάνης ἀθεΐαν
τοῦ ἀποστόλου ταῖς διδασκαλίαις
καὶ τὸν κόσμον σώσαντα,
190 οὐράνιοι ἄγγελοι
καὶ ἡμεῖς οἱ ἐπὶ γῆς
ὑμνοῦμεν, εὐλογοῦμεν
καὶ ὑπερυψοῦμεν
αὐτὸν εἰς τοὺς αἰῶνας.

195 Ἱστορήσας εὐσεβῶς
τὰς ἐνθέους πράξεις, ἔνδοξε,
τῶν ἀποστόλων καὶ συμμαθητῶν σου,
ταύτας καταλέλοιπας
ῥαθύμων ὑπομονήν,
200 σαλευομένων στηριγμόν·
ὑμνοῦμεν, εὐλογοῦμεν
καὶ δοξολογοῦμεν
Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὑπεραστράψας τῷ φωτὶ
205 τῷ τῆς χάριτος, ἀπόστολε,
τὴν ἀθεΐαν τὴν τῆς ἀσεβείας

---

heirm. η' EE 79, n. 111, Germani

ἠμαύρωσας ταῖς σαῖς διδαχαῖς
καὶ πᾶσι κατέλαμψας
τὸν φωτισμὸν τῆς ζωῆς·
210 ὑμνοῦμεν, εὐλογοῦμεν
καὶ ὑπερυψοῦμεν
αὐτὸν εἰς τοὺς αἰῶνας.

τριαδ. Ἡ τρισυπόστατος μονάς,
ὁ πατήρ, υἱὸς καὶ πνεῦμα τὸ ζῶν,
215 μία θεότης, μία βασιλεία,
σὲ αἰνεῖ τὸ ἄδυτον φῶς
ἀγγέλων ἡ στρατιὰ
καὶ ἡμεῖς οἱ ἐπὶ γῆς
ὑμνοῦμεν, εὐλογοῦμεν
220 καὶ ὑπερυψοῦμεν
αὐτὸν εἰς τοὺς αἰῶνας.

θεοτ. Τὸν ἐνοικήσαντα, πιστοί,
ἐν κοιλίᾳ τῆς παρθένου μητρὸς
καὶ γεννηθέντα ἐξ αὐτῆς ἀφράστως
225 καὶ πάλιν μετὰ γέννησιν
παρθένον φυλάξαντα,
ὡς θεὸν ἀληθινὸν
ὑμνοῦμεν, εὐλογοῦμεν
καὶ ὑπερυψοῦμεν
230 αὐτὸν εἰς τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Σὲ τὴν ἀκατάφλεκτον βάτον*

Πέτρα ἀληθῶς ἀνεδείχθης
τῆς Χριστοῦ ἀληθείας
f. 31 ‖ διαθρύψασα στερρῶς τὴν ἀθεΐαν,
μαθητὰ τοῦ Χριστοῦ, Λουκᾶ πανσεβάσμιε.

235 Σάλπιγξ ἀληθῶς ἀνεδείχθης
διηχήσασα πάσῃ

---

heirm. θ' EE 79, n. 111, Germani

τῇ οἰκουμένῃ τὴν ὀρθὴν τῆς εὐσεβείας
ὁμολογίαν, αὐτόπτα Χριστοῦ καὶ ἀπόστολε.

Σήμερον Λουκᾶς, συγκαλέσας
240 ὥσπερ τράπεζαν ἄλλην,
τὴν τῶν πράξεων αὐτοῦ προφέρει βίβλον
καὶ τὴν λάρνακα βρύουσαν μύρον πολύτιμον.

Ἔνδοξε Χριστοῦ τοῦ σωτῆρος
μαθητὰ θεηγόρε,
245 ταῖς πρεσβείαις σου ἡμᾶς ἐκ πάσης ῥῦσαι
ἀπειλῆς τοὺς ἐν πίστει τελοῦντας τὴν μνήμην σου.

τριαδ. Σέ, τὸν ἀπαράλλακτον ὄντα
τοῦ πατρὸς χαρακτῆρα
καὶ συναΐδιον ὁμοῦ τῷ παρακλήτῳ,
250 ὡς θεὸν καὶ σωτῆρα ἡμῶν μεγαλύνομεν.

θεοτ. * Χαῖρε, τῶν εἰς σὲ προστρεχόντων,
τὸ ἀπόρθητον τεῖχος,
χαῖρε, εὔδιε λιμὴν τῶν σὲ σεβόντων,
χαῖρε, μῆτερ Χριστοῦ τοῦ θεοῦ ἀειπάρθενε.

---

239 λουκᾶ   251-254 θεοτ. ed. Pent. λζ'

---

238 Luc. 1,3

IN SANCTUM LUCAM EV.

Crypt. Δ.α. XIII	=	Cc,	ff.	24-28
Mess. gr. 135	=	N,	ff.	96v-101
Paris. gr. 267	=	Ra,	pp.	283-290
Sinait. gr. 556	=	Συ,	ff.	208-210
Sinait. gr. 562	=	Σφ,	ff.	95v-97
Patm. gr. 609	=	Πm,	ff.	175-176
Patm. gr. 610	=	Πn,	ff.	370-374

Ἕτερος κανὼν τοῦ ἁγίου Λουκᾶ.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἆσμα ἀναπέμψωμεν λαοί*

Ἅρμα τοῦ θεοῦ περιφανὲς
ἐγένου τὸ πανάγιον
βαστάζον ὄνομα
ἐνώπιον ἀνθρώπων,
5 Λουκᾶ πανσεβάσμιε,
ἅρματα καὶ τριστάτας
τοὺς τῆς πλάνης βυθίζων εὐτόνως.

Ῥεῖθρον δεδεγμένος τῆς ζωῆς
αὐχμῷ μὴ ξηραινόμενον
10 τῆς ἀθεότητος
κατήρδευσας τὸν κόσμον,

---

tit. Ὁ κανὼν Ἰωάννου Ra Συ, in margine Σφ θεοφάνους
heirm. α' EE 225, n. 323, Germani   8 δεδειγμένος Πn   9 τῷ αὐχμῷ ξηραινόμενον Ra

---

6-7 Ex. 15,4

ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. 95 Ἰσχὺς τοῦ ἐχθροῦ
ἐξησθένησε τῷ σῷ τόκῳ, Παρθένε,
καὶ ἀσθενοῦντες ἀνερρώσθημεν
καὶ κατ' αὐτοῦ κραταιούμεθα·
ὅθεν σε ὑμνοῦμεν ἀπαύστως
100 καὶ εὐχαρίστως κραυγάζομεν·
« εὐλογητὸς εἶ, ὁ θεός,
ὁ τῶν πατέρων ἡμῶν »

ᾠδὴ η'. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Ἐν τῇ νυκτὶ τῆς σκοτεινῆς
ἀθείας ὡς φωστὴρ ηὔγασας, πάτερ,
105 εὐσεβείας ἀκτῖνας
ἀφεὶς τοῖς πέρασι
καὶ πάντας πρὸς τὸ φῶς τὸ ἄδυτον
ἀνθρώπους ἰθύνων,
Ζηνόβιε τρισμάκας.

110 Σὺ τοῖς παθήμασι Χριστοῦ
ἡδυνθεῖσα νοητῶς, μάρτυς, τὸ πέρας
δι' αὐτῶν τοῖς ἀγῶσι
τοῖς τῆς ἀσκήσεως
τέθηκας, Ζηνοβία, κράζουσα·
115 « σὲ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας

θεοτ. Ὁ ἀπερίγραπτος υἱὸς
τοῦ Θεοῦ τε καὶ πατρὸς φύσει τῇ θείᾳ
σαρκωθεὶς ὑπὲρ λόγον
120 ἐκ σοῦ, πανάχραντε,
τῇ φύσει ἡμῶν περιγράφεται
καὶ σαρκὶ τυποῦται
σεπτῶς τῇ ἐν εἰκόνι.

---

heirm. η' ΕΕ 35, n. 47, Joannis 116 αὐτὸν εἰς

ᾠδὴ θ'. *Τὸν ἐκ θεοῦ θεὸν λόγον*

Εἰδωλικῶν σεβασμάτων
125 τοὺς βωμοὺς καταστρέφων,
τεμένη εὐσεβείας τῷ θεῷ,
πάτερ Ζηνόβιε, ἤγειρας,
ἐν οἷς φέρων θυσίας
αὐτῷ τὰς ἀναιμάκτους ἐκτενῶς
130 καθαρῶς τε καὶ ἁγνῶς,
λαοὺς ἐμυσταγώγησας.

Ἐν τῷ νυμφῶνι τῆς δόξης
τοῦ θεοῦ καὶ νυμφίου
χορεύουσα, ἱκέτευε αὐτὸν
135 ὑπὲρ τῶν πόθῳ τιμώντων σε,
Ζηνοβία, ῥυσθῆναι
αὐτοὺς τῶν ἐναντίων προσβολῶν
f. 130 ‖ καὶ παθῶν καὶ κινδύνων
τὸν κτίστην μεγαλύνοντας.

θεοτ. 140 Ὑπὲρ ἡλίου ἀκτῖνας
ἡ σὴ χάρις, παρθένε,
ἐν πᾶσιν ἁπλουμένη τοῖς πιστοῖς,
τῶν πειρασμῶν καὶ τῶν θλίψεων
τὴν ὁμίχλην ἐλαύνων
145 καὶ φέγγει καταυγάζει νοητῷ
τοὺς ἐν πίστει καὶ πόθῳ
σὲ ὕμνοις μεγαλύνοντας.

---

heirm. θ' ΕΕ 34, n. 46, Joannis Mitsakis 158. 144 ἐλαύνων pro ἐλαύνουσα cf.

|| ᾠδὴ η'. *Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα*

Θεοπλόκῳ σαγήνῃ σου τῶν λόγων
145 ἐφαπλώσας
τοὺς πλάνῃ κρατουμένους
τῷ φωτισμῷ τῆς πίστεως ἐζώγρησας·
« κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
150 αὐτὸν εἰς τοὺς αἰῶνας ».

Δροσοβόλῳ σοφίᾳ σου τῶν λόγων
καὶ τοῖς ὄμβροις
τῆς χάριτος τῆς θείας
τὴν τῆς ἀπάτης κάμινον κατέσβεσας,
155 ἄγγελος κυρίου
καὶ ἱεροκῆρυξ,
θεόφρων χρηματίσας.

« Ὡς ὡραῖοι οἱ πόδες σου, παμμάκαρ,
τὴν εἰρήνην
160 εὐαγγελιζομένου
τὴν πάντα νοῦν προδήλως ὑπερέχουσαν, . . . »
ἣν ὑπερυψοῦμεν
καὶ δοξολογοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

165 Φῶς τοῦ κόσμου φωτίζειν τοὺς ἐν σκότει
καθημένους
ἀνέδειξε Χριστός σε,
τῆς πατρικῆς οὐσίας τὸ ἀπαύγασμα,

---

heirm. η' EE 226, n. 323, Germani 144 σαγήνης Cc 144-150 om. Συ Σφ Πm 153 τὰς θείας N 155 κυρίου] καθάπερ N Ra 157 χρηματίσας] εἰς αἰῶνας N 162 ἣν Cc 162-164 ὅθεν σε ὑμνοῦμεν / καὶ ὑπερυψοῦμεν / εἰς πάντας τοὺς αἰῶνας N 165 φωτίζων N 166 καθημένοις Cc 168 ἀπαύασμα Cc

---

158-161 Js. 52,7; Rom. 10,15

κύριος τῆς δόξης,
170 ὃν ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

θεοτ. * Ἐλισάβετ μητέρα σε Κυρίου
προσεφώνει,
προφῆτις δεδειγμένη,
175 τὸν βαπτιστὴν καὶ πρόδρομον βαστάζουσα,
κύριον ὑμνοῦντα
καὶ ὑπερυψοῦντα
εἰς πάντας τοὺς αἰῶνας.

f. 28 || ᾠδὴ θ'. *Σὲ τὴν ἀπειρόγαμον*

Κῆρυξ ἐχρημάτισας
180 τῆς παγκοσμίου σωτηρίας·
εὐαγγελικοῦ κηρύγματος
ἱερά τε καὶ εὔσημος
σάλπιγξ ἐπιπνοίᾳ πνεομένη τοῦ πνεύματος
ἀνεφάνης, ἱεροφάντα πανσεβάσμιε.

185 Πράξεσι κοσμούμενος
τῶν τοῦ σωτῆρος ἀποστόλων,
ταύτας ἐκ θεοῦ κινούμενος
τοῖς πιστοῖς ἀνιστόρησας,
ἔμπνουν ὥσπερ στήλην εἰς ἀεὶ διαμένουσαν
190 ἀναστήσας, ἱεροκῆρυξ παναοίδιμε.

172-179 θεοτ. ed. MR I, 459 θεοτ. om. Συ Σφ Πm 176 ὑμνεῖτε MR 177 καὶ ὑπερυψοῦτε MR 178 βοῶσα, εἰς αἰῶνας MR aliud θεοτ. in N, quod inc. Σὺ τὸ ὄρος..., ed. TR, 95 aliud troparium in Ra, quod inc. Θεογράφους..., ed. MR I, 459
heirm. θ' EE 220, n. 315, Joannis 182 ἱερός N 190 ἀναστήσας] ἀναδείξας Συ

172-175 Luc. 2,36-38

τοῦ σωτῆρος συνέγραψας·
ὅθεν, ἅπασαν
τὴν οἰκουμένην φωτίσας,
10 διεσκέδασας
τῆς ἀγνωσίας τὸν ζόφον,
Λουκᾶ πανσεβάσμιε.

Ἄλλο.

Ἦχος γ'. *Θείας πίστεως ὁμολογία*

Χαίρει σήμερον ἡ ἐκκλησία
δῆμον φέρουσα τῇ πανηγύρει,
ἑορτάζει γὰρ ποθοῦσα τὴν μνήμην σου·
τῶν γὰρ πιστῶν ἀνεδείχθης ὑπέρμαχος
5 καὶ τῶν ἀπίστων ὑπάρχεις χειραγωγός,
Λουκᾶ θεόπνευστε,
Χριστὸν τὸν θεὸν ἱκέτευε
δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἄλλο.

(Ἦχος γ'.) *Τὴν ὡραιότητα*

Ὁδοιποροῦντί σοι
μετὰ τὴν ἔγερσιν,
Λουκᾶ πανίερε,
σὺν τῷ Κλεώπᾳ λοιπὸν
5 ἐπὶ τὴν κώμην Ἐμμαοὺς
συνζήτησιν ποιοῦντί σοι,
ἐπέστη σοι ὁ κύριος
τῇ μορφῇ ἀνεπίγνωστος,

---

alterum κάθ. om. N Ra Συ Σφ Πm Πn, heirm. alterius ed. HR, 148
tertium κάθ. om. N Συ Σφ Πm Πn, heirm. ed. HR, 243 5 συνζήτησιν sic pro συζήτ.

Κάθ. tertium 1-12 Luc. 24,13-31.

αὖθις δὲ δεξάμενος
10 τὴν τοῦ ἄρτου ἐπίδοσιν
ἐπέγνως τὸν σωτῆρα, ὃν πρέσβευε
σωθῆναι τοὺς τιμῶντας τὴν μνήμην σου.

Ἄλλο.

Ἦχος πλ. δ'. *Τὸν συνάναρχον λόγον*

* Τῆς σοφίας τὸν μέγαν ἱεροφάντορα,
....

Ἄλλο.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ λόγου*

* Ὡς συνέκδημος Παύλου
....

f. 25v ‖ ᾠδὴ δ'. *Ἐξ ὄρους κατασκίου*

Θάλασσαν ἐθνῶν
ἐτάραξας, θεόφρον,
ἵππος γεγονὼς
τοῦ πάντων βασιλέως,
60 τὴν ἁλμυρὰν ἀπιστίαν ἅλατι θείῳ
καταγλυκαίνων, παναοίδιμε.

---

quartum κάθ. om N Ra Συ Σφ Πm Πn, ed. GIB, 44
quintum κάθ. om. N Συ Σφ, ed. MR I, 456
ab ode δ' usque ad finem alia troparia profert Πn, ed. MR I 457-460
heirm. δ' EE 224, n. 321, Joannis 56 Θαλάσσας Cc

σωτηρίου ἐκ πηγῶν
110 ἀρυόμενος.

θεοτ. * Ὁ λόγος τοῦ θεοῦ σε τοῖς βροτοῖς,
θεοτόκε, ἔδειξεν
οὐράνιον κλίμακα·
διὰ σοῦ γὰρ πρὸς ἡμᾶς
115 καταβέβηκεν.

Κοντάκιον.

Ἦχος β'. *Τοὺς ἀσφαλεῖς*

Τὸν ἀληθῆ
τῆς εὐσεβείας κήρυκα
....

Ὁ οἶκος. *Τράνωσόν μου τὴν γλῶσσαν, σωτήρ μου*

Γνῶσιν πλουτήσας τὴν ἀνωτάτω
....

Ἄλλο.

Ἦχος δ'. *Ἐπεφάνης σήμερον*

Μαθητὴς γενόμενος
....

111-115 θεοτ. ed. MR V, 330 aliud θέοτ. in Ra et Σφ, quod inc. Ἐμφράττεται νῦν στόμα δυσσεβῶν, ed. MR V, 75 κοντάκ. om. N Συ Σφ, in N autem κάθ. inc. Ὁδοιποροῦντι σοὶ..., idemque confer insuper p. 220 κοντάκ. et οἶκ. ed. Boll. Grott. n.s. 1 (1947), 208 alterum κοντάκ. ed. MR I, 458

111-113 Gen. 28,12-13

f. 27 || ᾠδὴ ζ'. *Παῖδες θεοσεβεῖς ἐν Βαβυλῶνι*

Μύστης τῶν ἀπορρήτων μυστηρίων
Χριστοῦ τοῦ θεοῦ πιστὸς γενόμενος,
εὐαγγέλιον τούτου
τὸ θεῖον ἐκήρυξας
120 τοῖς ἐν πίστει, πάνσοφε, λέγουσιν·
« εὐλογητός, ὁ θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Κόσμος ταῖς ἀρεταῖς πεποικιλμένος
ἐδείχθης, Λουκᾶ θεομακάριστε,
125 θεϊκῆς εὐπρεπείας
ἀκτῖσι λαμπόμενος
καὶ βοῶν ἀπαύστως τῷ κτίστῃ σου·
« εὐλογητός, ὁ θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

130 Πέμπων ἀκτινοβόλους λαμπηδόνας
πυρὸς ἐν νυκτὶ ὥσπερ φαινόμενος,
τῆς ἀπάτης τὸ σκότος
τῇ αἴγλῃ τῶν λόγων σου,
εὐσεβῶς κραυγάζων, ἀπήλασας·
135 « εὐλογητός, ὁ θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. Λέλυται ἡ ἐκ πτώματος ἀρχαία
τῆς Εὔας ἀρά, χαρὰν γὰρ ἔτεκες,
θεοτόκε παρθένε,
140 Χριστὸν τὸν συνάναρχον
τοῦ πατρὸς καὶ πνεύματος σύνθρονον,
θεοχαρίτωτε,
τὸν τῶν πατέρων θεόν.

heirm. ζ' EE 227, n. 325, Joannis 116 Μῦστα N 117 πιστῶς N 120 λέγουσιν] μέλπουσιν N Ra 126 om. N 134 κραυγάζην ὑπήλασας N 137-143 θεοτ. om. Cc, quibusdam lineis intermissis

Τόξον ὁ Χριστὸς
ἐντείνας ἐπαφῆκε
βέλος σέ, Λουκᾶ,
65 λαμπρῶς ἠκονημένον,
μαρμαρυγὰς ἀποστίλβον τῆς εὐσεβείας
καὶ καταυγάζον τὰς ψυχὰς ἡμῶν.

Πάθη τῶν ψυχῶν
ὁμοῦ καὶ τῶν σωμάτων
70 τῶν σῶν ὑμνητῶν
θεράπευσον, τρισμάκαρ,
τῇ μυστικῇ χειρουργίᾳ τῆς ἁμαρτίας
τὴν σηπεδόνα τέμνων, πάνσοφε.

θεοτ. Χαῖρε, θησαυρὲ
75 τῆς πάντων σωτηρίας·
χαῖρε, ἱερὰ πηγὴ τῶν ἰαμάτων·
χαῖρε, ἡ στάμνος
τοῦ μάννα τῆς ἀφθαρσίας
καὶ κιβωτὲ τοῦ ἁγιάσματος.

f. 26 || ᾠδὴ ε'. *Ὀρθρίζοντες βοῶμέν σοι, κύριε,*

80 Ὡς δρόσος οὐρανόθεν ἐκπίπτουσα
καθωράθης,
τὸν τῆς πλάνης καύσωνα
διασκεδάζων τοῖς λόγοις σου.

Τὸν φόβον ἐν γαστρί σου τὸν ἔνθεον
85 συνειληφώς,

---

62 Τόξον δυνατὸν N 63 ἀφῆκεν ὁ Χριστός σε N, ἐτείνας Σφ 64 βέλος τε Λουκᾶ N 66 μαρμαρυγαῖς Πm 70 τῶν σῶν γὰρ Cc 74-79 hoc aliud θεοτ. in N: Σὺ ἐν τοῖς ἁγίοις / εἶ ὑπεραγία / καὶ ἐν τοῖς ἀξίοις εἶ ὑπεραξία, ὅτι θεὸν τὸν / τῶν ὅλων τίκτεις καὶ φέρεις / περιγραφόμενον χερσί σου, ἁγνή. Aliud θεοτ. quoque in Ra, quod inc. Ἴσως πεφυκὼς..., ed. MR V, 74; θεοτ. om. Συ Σφ Πm 77 ἡ sic cdd.
heirm. ε' EE 226, n. 324, Germani 82 καύσωνα] κλύδωνα N 83 διασκεδάζων pro διασκεδάζουσα, Mitsakis 158 84-87 om Σφ

77-78 Hb. 9,4

σωτηρίαν ἔτεκες
τοῖς πλανωμένοις, ἀπόστολε.

Ἐπ' ὄρους ἀναβάς, παμμακάριστε,
τῶν ἀρετῶν,
90 πᾶσιν εὐαγγέλιον
τῆς βασιλείας ἐκήρυξας.

θεοτ. Κατεύνασον τὸν ἄστατον κλύδωνα
τῶν παθῶν μου,
Χριστὸν ἡ κυήσασα
95 τὸν κυβερνήτην καὶ κύριον.

f. 26v || ᾠδὴ ϛ'. *Χιτῶνά μοι παράσχου φωτεινὸν*

Σοφίας τὸν κρατῆρα πεπωκώς,
ἐμέθυσας ἅπαντας
τῆς ἐπιγνώσεως
τοῦ σωτῆρος καὶ θεοῦ,
100 Λουκᾶ πάνσοφε.

Τῷ Παύλῳ σὺ συνέκδημος κριθείς,
Λουκᾶ παμμακάριστε,
τὰ ἔθνη ἐζώγρησας
τῇ σαγήνῃ, θεορρῆμον,
105 τῶν δογμάτων σου.

Νεφέλη ἡ τὸν ὄμβρον τῆς ζωῆς
ἡμῖν ὑετίζουσα
ὤφθης, ἀπόστολε,

---

88 Εἰς ὄρος Πm 92-95 θεοτ. om. Ra Συ Σφ Πm aliud θεοτ. praebet N, inc. Τὸ τεῖχος σὺ πιστῶν, ed. PID ρξβ' 92 Καταύνασον Cc
heirm. ϛ' EE 224, n. 321, Joannis 99 ὦ Λουκᾶ πανσεβάσμιε N τοῦ σωτῆρος Χριστοῦ Ra, θεοῦ] Χριστοῦ Συ Σφ 100 om. N 101 σὺ om. N Ra Σφ, κριθεὶς] φανεὶς N Ra 106 ἡ om. N Ra Πm Συ Σφ

101-102; II Cor. 8,19; cf. Act. 16,10 sgg; 20,5 sgg; 21,1 sgg; 27,2 sgg.

Ἔστης τῆς ἐφέσεως
οἷά περ φθάσας, θεορρῆμον,
τὸ τῶν ὀρεκτῶν ἀκρότατον·
τῷ Χριστῷ γὰρ παρέστηκας,
195 τῆς ἐνδιδομένης παρ' αὐτοῦ ἐμφορούμενος
θεοπτίας· διό σε πάντες μακαρίζομεν.

θεοτ. * Ῥῦσαί με, πανάμωμε,
τῆς νοητῆς αἰχμαλωσίας,
λύτρον ἀντιδοῦσα, δέσποινα,
200 τοῦ υἱοῦ σου τὴν σταύρωσιν,
τὴν ὑπὲρ τῆς πάντων γενομένην λυτρώσεως
καὶ εἰρήνης καὶ σωτηρίας τῶν ὑμνούντων σε.

193 ἀρετῶν Ra 195 ἐνδεδομένης Σφ 196 μακαρίζομεν] μεγαλύνομεν N Ra 197-202 θεοτ. ed. MR III, 609.

20 OCT. *CANON* XXIV

IN SANCTUM ARTEMIUM

Synaxarium, 151-153: Ἄθλησις τοῦ ἁγίου μεγαλομάρτυρος Ἀρτεμίου. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Ἰουλιανοῦ τοῦ παραβάτου, δοὺξ καὶ αὐγουστάλιος γεγονὼς Ἀλεξανδρείας ..... Ἀκούσας δὲ Ἰουλιανὸν ἐν Ἀντιοχείᾳ τοὺς χριστιανοὺς τιμωρούμενον, παρεγένετο πρὸς αὐτὸν αὐτόκλητος τὴν παρανομίαν αὐτοῦ διελέγχων· τύπτεται οὖν παρ' αὐτοῦ βουνεύροις καὶ τριβόλοις ὀξέσι κατὰ τοῦ νώτου ξέεται· καὶ ὀγκίνοις τὰς πλευρὰς καὶ τὰ βλέφαρα διαπείρεται· καὶ ὑπὸ λιθοξόων πέτρας διαιρεθείσης, μέσον ἐμβάλλεται καὶ τῆς πέτρας ἑκατέρων τῶν μερῶν ἐπ' αὐτὸν συμπεσόντων ἀποληφθεὶς ἔνδοθεν τὴν ἀφόρητον τιμωρίαν ὑφίσταται, ἐκπεσόντων αὐτοῦ τῶν ὀφθαλμῶν καὶ τῶν ἐγκάτων ἐκ τῆς κατὰ φύσιν ἱδρύσεως κάτω συνελαθέντων. Εἶτα τὴν διὰ ξίφους δέχεται τελευτήν, πολλῶν θαυμάτων ἐπιδείξεις καὶ ἐνεργείας καθ' ἑκάστην ποιῶν.

Barb. gr. 535 = B, ff. 147-149v
Paris. gr. 1619 = P, ff. 111-112v
Sinait. gr. 562 = Σφ, ff. 101-103

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Ἀρτέμιος ἔπλησεν ἄρτιον δρόμον. ⟨Γεωργίου⟩.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

Ἀκτῖνες ἀειλαμπεῖς ἀνίσχουσι
τοῦ θείου πνεύματος
τὰς φωτοφόρους πᾶσι δωρεὰς
ἐφαπλοῦσαι τῆς χάριτος
5 ἐν τῇ ἐνδόξῳ σήμερον
καὶ φωταυγεῖ μνήμῃ τοῦ μάρτυρος.

Ῥανίσιν ἐκκαθαρθείς, Ἀρτέμιε,
τιμίου αἵματος

tit. Ὁ κανὼν... Ἀρτέμιος ἔπλησεν ἄρτιον δῶρον. Γεωργίου P Acr. nomen ΓΕΩΡΓΙΟΥ patet e theotokiis
heirm. α' ΕΕ 94, n. 133, Joannis

τοῦ δι' ἡμᾶς τυθέντος ἐν σαρκί,
10 σεαυτὸν ὁλοκάρπωμα
ὁλόκληρον καὶ ἄμωμον
τούτῳ προσῆξας δι' ἀθλήσεως.

f. 147v Τῷ κάλλει τῆς ἀμωμήτου ‖ πίστεως
περιλαμπόμενος
15 καὶ τῷ φωτὶ τῶν θείων ἀρετῶν
φαιδρυνόμενος, ἔνδοξε,
ἐν τῇ νυκτὶ ἐξέλαμψας
τῆς ἀθεΐας ὥσπερ ἥλιος.

Ἐκ ῥιζῶν τῶν ἀκενώτων, ἔνδοξε,
20 ἀπαρυσάμενος
τοῦ παρακλήτου χάριν δαψιλῆ,
τῶν θαυμάτων ἀέναα
προχέεις πᾶσι νάματα
τοῖς τοὺς ἀγῶνάς σου γεραίρουσιν.

θεοτ. 25 Γνωστή σου ἡ δυναστεία, δέσποινα,
πᾶσι τοῖς ἔθνεσιν
ὑπερφυῆ τελοῦσα ἐν παντὶ
τὰ παράδοξα γέγονε,
δι' ὧν ἡμᾶς εὐφραίνουσα
30 ἐχθρῶν ἐλέγχεις τὴν ἀσθένειαν.

ᾠδὴ γ'. [*Σύ, κύριέ μου, φῶς*]
Εὐφραίνεται ἐπὶ σοὶ

Μετέωρον τῆς ψυχῆς
ἔχων τὸ φρόνημα ἀεί, ἔνδοξε,
εἰς χαμαιζήλων στοργὴν
οὐ κατεῖδες ὅλως, Ἀρτέμιε.

---

10 ἑαυτὸν B Σφ 11 ἀμώμου B 13-18 troparium om. P 19-24 troparium om. P 19 ῥίζων B 30 ἐλέγχοις P
heirm. γ' perperam huc heirm. ε' refertur: utrosque invenies in EE 94, n. 133, Joannis 33 στοργῇ P

35 Ἰσχύϊ τοῦ δυνατοῦ
τὸν ὑπερήφανον ἐχθρὸν ἔκτεινας,
ἐν ἀσθενείᾳ σαρκὸς
καταπολεμήσας τὸν ἄσαρκον.

Ὁ λόγος σου νοητῶς
40 τῇ τοῦ Χριστοῦ διαναφθεὶς χάριτι,
τὴν μοχθηρὰν ἔφλεξε
πλάνην τῶν εἰδώλων, Ἀρτέμιε.

θεοτ. Ἐλύθημεν τοῦ δεσμοῦ
τῆς ἁμαρτίας διὰ σοῦ, ἄχραντε,
45 καὶ δικαιώσει θεοῦ
πάντες οἱ πιστοὶ συνηρμόσθημεν.

Κάθισμα.

Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

Τὸν στρατιώτην τοῦ Χριστοῦ
. . . .

ᾠδὴ δ'. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία*

Συνεχύθη συμφωνία πολυθεΐας
ἕνα θεολογοῦντός σου
θεόν, ἀθλοφόρε,
50 ποιητὴν τῆς κτίσεως,
πατέρα ἀγέννητον
καὶ υἱὸν καὶ πνεῦμα συνάναρχον.

Ἐβεβαίωσας τοὺς λόγους σου ἐν τοῖς ἔργοις
ὑπεραθλῶν, Ἀρτέμιε,
55 τῆς ὁμολογίας

---

36 ἐχθρὸς P 39 νοητὸς P 43-46 θεοτ. om. P
κάθ. ed. MR I, 472
heirm. δ' EE 94, n. 133, Joannis 51 ἀγέννητον] γεννήτορα P 53 Ἐβεβαίωσεν P

Χριστοῦ τοῦ θεοῦ ἡμῶν·
f. 148 διὸ ἀλη‖θείας σε
κήρυκα κατέπτηξαν τύραννοι.

Περιθέμενος τὰ ὅπλα τῆς εὐσεβείας,
60 τῆς ἀσεβείας ἔτρεψας
φάλαγγας, θεόφρον,
καὶ τροπαιοφόρον, σοφέ,
τὴν ὄντως ἀλήθειαν
κατὰ τῆς ἀπάτης ἀπέδειξας.

65 Λύσας σύνδεσμον ἀδίκου πολυθείας
ἐν τοῖς δεσμοῖς, Ἀρτέμιε,
τῆς δικαιοσύνης
Χριστοῦ τοῦ θεοῦ ἡμῶν
συνήφθης καὶ ἅπασι
70 λύσιν τῶν παθῶν μεσιτεύεις ἀεί.

θεοτ. Ὡς ταμεῖον δεδομένη θείων χαρίτων
ὑπὸ θεοῦ, πανάχραντε,
ἀνθρώπων τῷ γένει,
πᾶσι διανέμεις πιστοῖς
75 ἀφθόνων τὴν μέθεξιν,
τούτων ὡς προστάτις φιλάγαθος.

ᾠδὴ ε΄. *Σύ, κύριέ μου, φῶς*

Ἠκόντισας, σοφέ,
κατὰ τῆς ἀθεότητος
τοὺς λόγους σου ὥσπερ βέλη,
80 καὶ τὸν ταύτης πατάξας
συνασπισμὸν κατέβαλες.

57-58 συνήφθεις καὶ ἅπασι / λύσιν τῶν παθῶν μεσιτεύεις ἀεί P 59-64 desunt in P 65-70 desunt in P 71-76 θεοτ. om. P 71 δέδωκε B heirm. ε΄ EE 94, n. 133, Joannis 77 Ἠκόνησας B Σφ 79 τοὺς om. P

Σὺ τύραννον, ὀφρὺν
κατὰ θεοῦ τοῦ κτίσαντος
ἀθέως ἐπαιρομένην,
85 ἐταπείνωσας, μάρτυς,
τῷ ὕψει τῆς σοφίας σου.

Ἐνέπρησας, σοφέ,
τῷ πυρὶ τῷ τοῦ πνεύματος
φρονήματα φρυγανώδη
90 ἀνομούντων καὶ φέγγει
Χριστοῦ πιστοὺς κατηύγασας.

θεοτ. Ῥομφαίαν κατ' ἐχθρῶν
τὴν πρεσβείαν σου ἔχοντες,
πανάχραντε, ἀοράτως
95 τοὺς ἡμᾶς πολεμοῦντας
τροπούμεθα ὑμνοῦντές σε.

ᾠδὴ ϛ΄. *Θύσω σοι*

Νάμασι
καταρδευθεὶς σοφίας τῆς κρείττονος
καὶ πρὸς τὸ ὕψος τῆς ὄντως
100 ἀναδεδομένος σοφίας, μάρτυς,
ἐγνώρισας
τὸν ἁπάντων δεσπότην καὶ κύριον.

Ἅρματα
τῆς ἀθεΐας, μάρτυς Ἀρτέμιε,
105 τῶν σῶν αἱμάτων τῷ κύτει
ὥσπερ ἐν πελάγει βυθίσας κλῆρον,
τοὺς διὰ σοῦ
ἐπιγνόντας θεὸν ἐκυβέρνησας.

Ῥήμασιν
110 ὥσπερ ἀγχόνῃ, μάρτυς, ἀπέπνιξας

87-91 desunt in P 96 ὑμνοῦντας B Σφ
heirm. ϛ΄ EE 94, n. 133, Joannis 102 τῶν B 103 Ἅρμα B
109-114 troparium om. P

103-104 cf. Ex. 14,28

f. 148v τὸν τοῦ θεοῦ || ἀποστάτην
καί, βλασφήμους γλώσσας κατασιγάσας,
διανοίξας
εἰς Χριστὸν εὐσεβούντων τὰ στόματα.

θεοτ. 115 Γνώτωσαν
τὴν κραταιάν ἰσχύν σου, πανάχραντε,
οἱ ἀγνοοῦντες τὸν κτίστην,
καὶ ἰσχὺν καὶ δύναμιν καὶ τὴν γνῶσιν
θαυμασίως
120 κομιζέσθωσαν πίστει ὑμνοῦντές σε.

Κοντάκιον.

Ἦχος β'. *Τοὺς ἀσφαλεῖς*

Τὸν εὐσεβῆ
καὶ στεφηφόρον μάρτυρα
....

Ὁ οἶκος.

Τὸν εὐσεβῆ
καὶ ἀθληφόρον τοῦ Χριστοῦ
Προκόπιον τὸν μέγαν εὐφημήσωμεν,
ὅτι καθεῖλε τῶν ἀνόμων τὰ φρυάγματα
5 καὶ τοῦ ἐχθροῦ τὰς μηχανὰς εἰς γῆν κατεδάφισε
Ποία γλῶσσα καὶ ἀνθρώπων νοῦς
καὶ στόμα διηγήσασθαι; σοφίᾳ
ἐνδεδυμένος καὶ ἀνδρείᾳ τὸν πλοῦτον ἐμίσησας
καὶ τὴν ἀνδρείαν τὴν πρόσκαιρον,
10 στρατιώτης φανεὶς γνησιώτατος
πρεσβεύεις τῷ κυρίῳ ὑπὲρ πάντων ἡμῶν.

113 διανοίξας: ἦσθα subaudias 118-120 καὶ αὐτοῦ τὴν γνῶσιν τοῖς παραδόξως / τελουμένοις / διὰ σοῦ θαυμασίοις λαβέτωσαν P Σφ 120 ὑμνοῦντας B κοντάκ. ed. MR I, 474 κοντάκ. et οἶκ. om. P Σφ 3 ἀθληφόρον pro ἀθλοφ. 3 Προκόπιον: felix error pro Ἀρτέμιον qui originem contacii designat 7 διηγήσασθε σοφίαν

ᾠδὴ ζ'. *Ἐν τῇ καμίνῳ*

Τοὺς πολυπλόκους
τῆς ἀθεΐας, μάρτυς, λύσας δεσμούς,
λόγοις εὐσεβείας ἥνωσας τοὺς πιστοὺς
εἰς θεοῦ μίαν ἐπίγνωσιν,
125 τοῦ εἰς ὁμόνοιαν
ἀληθείας ἀνθρώπους συνδέοντος.

Ἰσχὺς τυράννων
καὶ ἀντιπάλων κράτος, μάρτυς Χριστοῦ,
πάντα ἀσθενῆ ἐδείχθη ἐν τῇ στερρᾷ
130 καρτερίᾳ καὶ ἀνδρείᾳ σου,
σὺ δὲ ἐδόξασας
τὸν τῶν ὅλων δεσπότην καὶ κύριον.

Οἱ τῶν αἱμάτων
τῶν σῶν ῥυέντες, μάρτυς, θεῖοι κρουνοὶ
135 πᾶσι τοῖς πιστοῖς ἐπήγασαν ποταμοὺς
ἰαμάτων τοῖς κραυγάζουσιν·
« εὐλογητὸς εἶ,
ὁ θεός, ὁ τῶν πατέρων ἡμῶν ».

Νέφη τῆς πλάνης
140 τῇ ἐπικλύσει, μάρτυς, τῇ τοῦ παντὸς
f. 149 || πάντα ἀπελάσαν φέγγος ἀειλαμπές,
τοῖς πιστοῖς πᾶσιν ἐφήπλωσας
τοῦτον, Ἀρτέμιε,
φωτοδότην δοξάζων καὶ κύριον.

θεοτ. 145 Ἰσχὺν καὶ κράτος
τοὺς ἀσθενοῦντας ζώωσον ὡς ἀγαθή,
θράσος τῶν ὑπερηφάνων τῇ κραταιᾷ
καθαιροῦσα δυναστείᾳ σου,
θεοχαρίτωτε,
150 τῶν εἰς σὲ πεποιθότων τὸ καύχημα.

heirm. ζ' EE 94, n. 133, Joannis 123 λόγοις Σφ λόγοις .... τοὺς om. B 126 συνδέυοντας B 129 ἀσθενής B 131 ἐδόξασες P Σφ 133-138 troparium om. P 139-144 troparium om. P 146 ζῶσον Σφ

ᾠδὴ η΄. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Διψῶν τὸ ποτήριον πιεῖν
τὸ τοῦ θανάτου Χριστοῦ,
μάρτυς Ἀρτέμιε,
ὅπερ ἐπόθησας ἔπιες
155 ἐν γλυκύτητι μεθέξεως
καὶ διὰ τοῦτο γλυκασμὸν
τῶν ἰαμάτων ἡμῖν
ἐπομβρίζεις
ὑμνολογοῦσιν αὐτὸν τὸν τῶν ὅλων θεόν.

160 Ῥάβδῳ τῆς σοφίας σου, σοφέ,
τοὺς θῆρας ἤλασας
τῆς ἀθεότητος
Χριστοῦ τὸ ποίμνιον, ἔνδοξε,
ἐν ὠμότητι σπαράσσοντας
165 καὶ ἐλυτρώσω τῆς αὐτῶν
θήρας τοὺς κράζοντας·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

Ὄμβρον τὸν οὐράνιον Χριστὸν
170 ἐν τῇ καρδίᾳ σου,
μάρτυς, δεξάμενος,
ηὔξησας πίστεως δράγματα
καί, πιστοὺς δεκτούς, Ἀρτέμιε,
τῷ σὲ δοξάσαντι θεῷ
175 φέρων, ἐκραύγαζες·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

θεοτ. Ὅπλα περιθέμενοι τὴν σὴν
πρεσβείαν, ἄχραντε,
180 ἀκαταγώνιστα

---

heirm. η΄ EE 94, n. 133, Joannis 151 τὸ om. BP 152 τῶ B 153 μάρτυς] ὄντως P 156 γλυκασμῶν P 161 ἤλασας] ἥρπασας P 164 ὁμότητι B 166 θύρας B 169-177 troparium om. P 169 Χριστὸν] σαφῶς Σφ 178 περιθέμενος B

οἱ ἐν τῇ σκέπῃ σου ἅπαντες
καταφεύγοντες, τροπούμεθα
τοὺς πολεμήτορας ἡμῶν
καὶ ἐκβοῶμεν ἀεί·
185 « εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

ᾠδὴ θ΄. *Λίθος ἀχειρότμητος ὄρους*

Μύρα εὐωδέστατα μύρῳ
τῷ ἀκενώτῳ προσενέγκας
αἵματα τὰ σά, ἀθλοφόρε,
190 τῆς εὐωδίας τῆς τούτου ἔτυχες·
διὸ ἡμᾶς ταῖς χάρισι
εὐωδιάζεις τῶν θαυμάτων σου.

Ὅλος νοητῇ θεωρίᾳ
καὶ ἀλλοιώσει θειοτέρᾳ
195 ἐκ τῶν ἐπικήρων ἀπάρας,
σαρκὶ παλαίων τῷ πολεμήτορι
τὰ ἀλογινά, Ἀρτέμιε,
ὥσπερ ἀσώματος ὑπέμεινας.

Νῦν ταῖς τῶν ἀΰλων χορείαις
200 ἐν ἀϊδίῳ εὐφροσύνῃ
f. 149ᵛ καὶ ἀγα‖λλιάσει χορεύων,
ὑπὲρ τῶν πίστει ἀνευφημούντων σε
ἱκέτευε, Ἀρτέμιε,
εἰρήνην τούτοις ἐξαιτούμενος.

θεοτ. 205 Ὑπάρχουσα στέφανος δόξης
τῇ ἐκκλησίᾳ, θεοτόκε,
καὶ στολὴ καὶ κόσμησις θεία,
εἰρήνην ταύτῃ ταῖς ἱκεσίαις σου
παρέχεις διαλύουσα
210 καὶ κατ' αὐτῆς φυέντα σκάνδαλα.

---

heirm. θ΄ EE 94, n. 133, Joannis 181 ἅπαντες | πάναγνε Σφ 188 προσήνεγκας B Psaltes 201 198 ἀσώματα PB 199-204 om. P 206 τῆς ἐκκλησίας P 208 ταύτην B Σφ 210 καταύτης B κατὰσὲ P

20 OCT. *CANON* XXV

IN SANCTUM ARTEMIUM

Crypt. Δ α. XXVIII = Cs, ff. 27-29v
Mess. gr. 52 = M, ff. 32-32v

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Τὸν θεῖον Ἀρτέμιον ᾄσμασι στέφω.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

f. 27v || Τὴν θείαν σου ἱεροῖς ἐν ᾄσμασι
νῦν καταστέφοντι
μνήμην φαιδράν, Ἀρτέμιε, τῇ σῇ
πρὸς θεὸν μεσιτείᾳ, σοφέ,
5 λόγον σοφίας δίδου μοι
καὶ τῶν πταισμάτων τὴν συγχώρησιν.

Οὐ πλοῦτον τὸν ἐπὶ γῆς προέκρινας,
μάρτυς Ἀρτέμιε,
τῆς τοῦ Χριστοῦ ἀγάπης εὐσεβῶς,
10 οὐκ ἀξίαν τὴν πρόσκαιρον,
ἀλλὰ σαυτὸν ταῖς μάστιξιν
ἕνεκα ταύτης παραδέδωκας.

Νομίμως τοῦ μαρτυρίου, πάνσοφε,
τὸν δρόμον ἤνυσας
15 καὶ τὸν ἐχθρὸν νικήσας εὐθαρσῶς
πρὸς τὸ σκάμμα εἰσέδραμες

---

tit. Ὁ κανὼν οὗ ἡ ἀκροστιχίς . . . , M post acr. Θεοφάνους add. Cs heirm. α' EE 94, n. 133, Joannis 2 συγκαταστέφοντι Cs 3 φαιδρῶς M 12 καὶ παρέδωκας M 15 καὶ τοῦ ἐχθροῦ . . . εὐθαρσὸς M

9-10 II Cor. 4,18

καὶ τὸν τῆς νίκης στέφανον
παρὰ Χριστοῦ χαίρων ἀπείληφας.

Θυσίαν εἰλικρινῆ καὶ ἄμωμον
20 σαυτόν, Ἀρτέμιε,
ὑπὲρ κριῶν καὶ μόσχων ἀληθῶς
τῷ Χριστῷ προσενήνοχας
ἀθλητικῶς καὶ ἔτυχες
τῆς ἀϊδίου, μάρτυς, δόξης αὐτοῦ.

θεοτ. 25 Ἐκβέβλημαι συμβουλίᾳ ὄφεων
ἐκ παραδείσου τρυφῆς,
διὰ τοῦ θείου τόκου σου δὲ νῦν,
θεομῆτορ πανάμωμε,
εἰς οὐρανοὺς ἀνήνεγμαι·
30 διὸ κηρύττω θεοτόκον σε.

ᾠδὴ γ'. *Εὐφραίνεται ἐπὶ σοὶ*

Ἰσχὺν λαβὼν πρὸς Χριστοῦ,
τοῦ ἀποστάτου κραταιῶς ἅπασαν
τὴν ἐν τῷ λόγῳ ἤλεγξας,
μάρτυς, φλυαρίαν, Ἀρτέμιε.

35 Οὐδόλως ταῖς δολεραῖς
καθυποσχέσεσι, σοφέ, ἥττησαι
τοῦ σκολιοῦ, ἔνδοξε
μάρτυς, ἀποστάτου, Ἀρτέμιε.

Νικήσας ἀθλητικῶς
40 τὰς τῶν δαιμόνων πονηρὰς φάλαγγας,
πρὸς τοῦ Χριστοῦ, Ἀρτέμιε,
στεφάνῳ χαρίτων κεκόσμησαι.

---

25 συμβουλὴ τοῦ ὄφεος M 26 τρυφῆς] τὸ πρὶν M 29 ἀνήνεγμαι] ἀνέδραμον M 30 κηρύττω] πρεσβεύω M
heirm. γ' EE 94, n. 133, Joannis 31 Χριστὸν M 35 Οὐ δόλος M 36 ἥττησαι] ἤγγησας M 37 ἔνδοξε] δράκοντος M 41 πρὸς τοῦ] παρὰ M 42 στέφανον χαρίτων ἠσδέδεξαι M

25-26 Gen. 3,1-6

f. 28 θεοτ. ‖ Ἀρᾶς τῆς πάλαι τε νῦν
ἡ Εὔα λέλυται τῇ σῇ, ἄχραντε,
45 θείᾳ κυήσει· ὅθεν σε
θεοτόκον πάντες κηρύττομεν.

ᾠδὴ δ'. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία*

Ῥώμῃ τῇ θείᾳ, ὦ μάρτυς, ἐν τῷ σταδίῳ
τῷ δυσμενεῖ Βελίαρ
συμπλακεὶς ἀοράτως,
50 τοῦτον καταβέβληκας
καὶ νίκης τὸν στέφανον
ἐκ θεοῦ, Ἀρτέμιε, εἴληφας.

Τῇ ἐκκλησίᾳ κατάκαρπος ὡς ἐλαία,
μάρτυς Χριστοῦ Ἀρτέμιε,
55 καρποὺς τῶν θαυμάτων
ὤφθης προβαλλόμενος,
ἐλαίῳ ἰάσεως
πάντας ἱλαρύνων νοσοῦντας, σοφέ.

θεοτ. Εὔα χαίρει ἐν τῷ τόκῳ σου τῶν ὠδίνων
60 λελυτρωμένη, μήτηρ
θεοῦ παναγία·
ὅθεν θεοτόκον σε
κυρίως, πανάχραντε,
σέβει καὶ σεπτῶς μακαρίζει ἀεί.

ᾠδὴ ε'. *Σύ, κύριέ μου, φῶς*

65 Μὴ φέρων ὁ δεινὸς
ἀποστάτης τὸ εὔτολμον,
Ἀρτέμιε, τῆς ψυχῆς σου,
ἐν σχισμαῖς τῶν πετρῶν σε
ἐκθλίβει, παναοίδιμε.

---

43 τανῦν Cs M 45 σοὶ M
heirm. δ' EE 94, n. 133, Joannis 47 ὁ M 52 ἐκ θεοῦ] κατ' αὐτοῦ M 60 μῆτερ M
heirm. ε' EE 94, n. 133, Joannis 66 εὔτονον M 69 παμμακάριστε M

---

43 Gen. 3,16

70 Ἰσχύϊ τοῦ Χριστοῦ
πᾶσαν πεῖραν βασάνων, σοφέ,
ὑπήνεγκας, ἀθλοφόρε,
ὡς ἀνήλατος ἄκμων
καὶ ὤφθης στεφανίτης φαιδρός.

75 Ὅλῳ σου τῷ νοῒ
ἑδρασθεὶς ἐν τῇ πέτρᾳ Χριστοῦ
τῆς πίστεως, ἀθλοφόρε,
ἐκθλιβόμενος πέτραις
ὑπήνεγκας στερρότατα.

θεοτ. 80 Νενέκρωται ὁ πρὶν
τῇ ἀπάτῃ πτερνίσας με
τῷ τόκῳ σου, θεομῆτορ,
καὶ μαρτύρων χορεῖαι
πυκάζουσιν ὡς κρίνα, σεμνή.

ᾠδὴ ς'. *Θύσω σοι*

85 Ἄσειστον
ὡς ἐν πέτρᾳ τῆς πίστεως, μάρτυς Χριστοῦ,
f. 28ᵛ ‖ τὴν ψυχικήν σου οἰκίαν
εὐσεβῶς πηξάμενος, κύμασιν
ἀσεβείας
90 διαμεμένηκας, παναοίδιμε.

Σύ, μάκαρ,
ὡς Γεδεὼν τὸ πρὶν ὁ στερρότατος,
τὰς τῶν δαιμόνων ἀνδρείως
κακοτρόπους φάλαγγας ἐπορθήσω,
95 τροπαιοῦχος
ἀριστεὺς κατὰ τούτων ὀφθεὶς κραταιός.

---

75 Ὅλος M
heirm. ς' EE 94, n. 133, Joannis 85 Ἄσειστος M 87 οἰκίαν] οὐσίαν M 94 κατὰ τρόπους M ἐπορθήσω om. M

85-90 Matth. 7,24-25; Luc. 6,48 92-96 Jud. 7,19-25

θεοτ. Μόνη σὺ
ἐν γυναιξίν, ἁγνὴ θεονύμφευτε,
ἐκλελεγμένη ὑπάρχεις
100 εἰς κατοικητήριον θεῖον, σεμνή,
τοῦ ἀφράστως
ἐν σοὶ σκηνώσαντος θείου λόγου σαφῶς.

Κοντάκιον.

Ἦχος β'. *Τοὺς ἀσφαλεῖς*

Τὸν εὐσεβῆ
καὶ στεφηφόρον μάρτυρα,
....

ᾠδὴ ζ'. *Ἐν τῇ καμίνῳ*
ἀβραμιαῖοι παῖδες τῇ περσικῇ

Ἅπασαν πλάνην
τὴν δεισιδαίμονα θείοις λόγοις σου,
.f. 29 105 μάρτυς, εὐσεβῶς ἐλέγξας τοῦ ‖ δυσσεβοῦς
ἀποστάτου, ἀνεκραύγαζες·
« εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, κύριε ».

Σιαγόνι σου
110 τῇ διὰ λόγων, μάρτυς ἔνδοξε,
ὥσπερ ἀλλοφύλων ἔθνη τὰ πονηρὰ
τῶν δαιμόνων πλήθη ἔθραυσας,
« εὐλογημένος εἶ,
ὁ θεός μου, » κραυγάζων, Ἀρτέμιε.

θεοτ. 115 Ἰακὼβ πάλαι
κλίμακα εἶδε σέ, πανόλβιε·

κοντάκ. ed. MR I, 474 κοντάκ. om. M, ubi autem κάθ. exstat quod inc. Τὸν στρατιώτην τοῦ Χριστοῦ..., ed. MR I, 472
heirm. ζ' EE 94, n. 133, Joannis 105 ἐλλέξας M 110 τῇ τῶν λόγων M

115-116 Gen. 28,10-22

λόγος τοῦ θεοῦ κατέβη γὰρ ἐπὶ γῆς
ἐκ σοῦ σάρκα προσλαβόμενος
καὶ προσωμίλησεν
120 ἐν ἡμῖν τοῖς βροτοῖς, ὡς ηὐδόκησεν.

ᾠδὴ η'. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Σῇ, μάρτυς Ἀρτέμιε, στερρᾷ
ἐνστάσει, ἅπασαν
πλάνην κατήργησας
εἰδωλικὴν σαφῶς, ἔνδοξε,
125 καὶ τῷ κτίστῃ προσενήνοχας
ὡς ὁλοκαύτωμα δεκτὸν
σαυτὸν ἀθλήσει σου·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

130 Τῇ θείᾳ ῥωννύμενος Χριστοῦ
δυνάμει, ἅπασαν
μηχανουργίαν αἰσχρὰν
τοῦ δυσσεβοῦς, σοφέ, ᾔσχυνας
καὶ τὴν τούτου ἐθριάμβευσας,
135 μάρτυς, ἀσθένειαν, βοῶν
μετ' εὐφροσύνης θερμῶς·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

θεοτ. Ἐχώρησας, πάναγνε, θεόν,
140 σεμνή, ἐν μήτρᾳ σου
καὶ τοῦτον τέτοκας
ἐν δύο φύσεσι τέλειον,
τὸν αὐτὸν ὁμοῦ θεὸν καὶ βροτόν,
οὗπερ τὸ εἶδος εὐσεβῶς

117 ἐπὶ τῆς M
heirm. η' EE 94, n. 133, Joannis 132 αἰσχρὰν] ἐχθροῦ M 133 δυσμενοῦς M 135 ἀσθένειαν] Ἀρτέμιε M 136 τρανῶς M 139 Ἐχώρισας πάναγνε σεμνή M 140 θεὸν ἐν μήτρᾳ σου M 143 θεὸν ὁμοῦ M

145 ἡ ἐκκλησία τιμᾷ
καὶ κυρίως
σὲ θεοτόκον δοξάζει, θεόνυμφε.

ᾠδὴ θ'. *Λίθος ἀχειρότμητος ὄρους*

Φωτὶ αὐγαζόμενος, μάκαρ,
τῆς ὑπερφώτου θεαρχίας
150 καὶ τρισσοφαοῦς, ἀθλοφόρε,
ἡμῶν τῶν πίστει τὴν θείαν μνήμην σου
τελούντων νῦν μνημόνευε
καὶ τῶν πταισμάτων λύσιν αἴτησαι.

Ὡς ἥλιος φέγγει θαυμάτων
155 τῶν σῶν, γενναῖε ἀθλοφόρε,
πᾶσαν τὴν σκοτόμαιναν, μάκαρ,
f. 29v τῶν νο || σημάτων ἀποδιώκεις ἡμῶν
τῶν εὐσεβῶς τῇ θείᾳ σου
σορῷ, θεόφρον, προστρεχόντων ἀεί.

θεοτ. 160 Ὡς μόνην ὑπάρχουσαν πάντων
τῶν ποιημάτων ὑπερτέραν,
πάναγνε παρθένε Μαρία,
ἀξίως ὕμνοις πιστοὶ γεραίρομεν
καὶ τοῦ ἀγγέλου, δέσποινα
165 σεμνή, τὸ « χαῖρε » σοὶ προσφέρομεν.

---

heirm. θ' EE 94, n. 133, Joannis 151-153 ἡμῶν τῶν πίστει ἀνευφημούντων σε / τὴν θείαν μνήμην ἔνδοξε / πταισμάτων δίδου τὴν συγχώρησιν M 154 Ὡς ἥλιος ἄδυτος φέγγει M 155 γενναῖε] θαυμάτων M 156 σκοτόμενα M 158 τὴν θείαν M 160 μόνη ὑπάρχουσα M 161 ὑπερτέρα M 163 πίστει M 164 σὺν τῶν ἀγγέλων M 165 προσάγωμεν M

164-165 Luc. 1,28

IN SANCTOS MARTYRES LXIII

Mess. gr. 135 = N, ff. 107v113

Vat. gr. 2042, f. 202: (Μνήμη) τῶν ἁγίων ἐνδόξων μαρτύρων τοῦ Χριστοῦ ἑξήκοντα καὶ τριῶν τῶν ἐν ἁγίᾳ πόλει Ἱερουσαλήμ, συλληφθέντων ὑπὸ τῶν Ἀγαρηνῶν καὶ μαρτυρησάντων ἐν τοῖς χρόνοις τοῦ βασιλέως Λέοντος τοῦ Ἰσαύρου . . .

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Τοὺς τρεῖς πρὸς ἑξήκοντα μάρτυρας σέβω. Συμε⟨ῶνος⟩.

Ἦχος β'.

ᾠδὴ α'. *Τῷ τὴν ἄβατον*

f. 108 || Τῷ πηγάζοντι
ῥεῖθρα σοφίας, κύριε,
καὶ ἀναχέοντι
τῶν δωρεῶν ποταμοὺς
5 σοὶ προσπίπτω, ἀγαθέ·
φώτισον τὰ ὄμματα
τὰ τῆς καρδίας μου
πρὸς σὴν ἐπίγνωσιν
πρεσβείαις τῶν μαρτύρων σου.

10 Οἱ λαμπρότατοι
τῆς ἀληθείας μάρτυρες
ἀνευφημείσθωσαν
τρεῖς πρὸς ἑξήκοντα,
οἱ συντρίψαντες ἐχθροῦ
15 κάραν τὴν ὀλέθριον
στερρῷ φρονήματι
καὶ τὴν σκοτόμαιναν
αὐτοῦ ἐξαφανίσαντες.

---

tit. post acrostichiden in margine Συμε(ών) legitur vel Συμε(ῶνος)
heirm. α' EE 39, n. 53, Cosmae

Ὑπερθαύμαστος
20 ἡ τῶν μαρτύρων ἔνστασις,
ἣν ἐπεδείξαντο
πρὸς πᾶσαν βάσανον,
ἀκατάπληκτον ψυχήν,
φρόνημα ἀήττητον,
25 γνώμην ἀνένδοτον
f. 108ᵛ τῷ ‖ πόθῳ νέμοντες
κυρίου οἱ στερρόφρονες.

θεοτ. Συμπαθέστατον
καὶ ἐν ἐλέει πλούσιον,
30 δέσποινα, ἡ κυήσασα
υἱὸν καὶ κύριον,
συμπαθείας με τῆς σῆς,
δέομαι, ἀξίωσον
καὶ ἐλευθέρωσον
35 τῆς κατακρίσεως
προσφεύγοντα τῇ σκέπῃ σου.

ᾠδὴ γ΄. *Ἐν πέτρᾳ με τῆς πίστεως*

Τὸν κλύδωνα τοῦ βίου ἀπολιπόντες
καὶ πάσης ἀποστάντες πλάνης τῆς κάτω,
ἐπλεύσατε ἀκύμαντοι, ἀθλοφόροι,
40 οἰακιζόμενοι Χριστοῦ τῷ θείῳ σταυρῷ
καὶ ζωῆς ἐφθάσατε τοὺς λιμένας ἐν χαρᾷ.

Ῥημάτων ἐπακούσαντες τοῦ δεσπότου,
ἐξήλθετε πατρίδος καὶ συγγενείας
καὶ πόνῳ καὶ ἀτρύτῳ ταλαιπωρίᾳ
45 τόποις ἐπέστητε οἷς τὰ παθήματα
δι' ἡμᾶς ὑπέμεινεν ὁ σωτὴρ ἡμῶν.

Ἐτρώθητε τῷ ἔρωτι τοῦ δεσπότου,
f. 108ᵛ ‖ γενναῖοι ἀθλοφόροι, καὶ ἀντὶ πάντων
ἠλλάξατε τὸν θάνατον τὸν ἐκείνου,

heirm. γ΄ EE 38, n. 51, Cosmae 45 τρόποις

50 αὐτῷ κραυγάζοντες πίστει καὶ λέγοντες
ὡς « οὐκ ἔστι δίκαιος πλήν σου, κύριε ».

θεοτ. Ἰλύος με ἐκκάθαρον ἁμαρτίας,
ἁγνὸν θεοῦ παλάτιον, παναγία,
καὶ δόξης με ἀξίωσον αἰωνίου
55 τῷ σῷ κραυγάζοντα υἱῷ καὶ λέγοντα
ὡς « οὐκ ἔστιν ἅγιος πλήν σου, κύριε ».

Κάθισμα.

Ἦχος α΄. *Τὸν τάφον σου, σωτήρ*

Προθύμῳ λογισμῷ
ἑαυτοὺς ἐπιδόντες
πρὸς πᾶσαν ἀλγεινῶν,
πανaοίδιμοι, πεῖραν,
5 γενναίως ἠθλήσατε
καὶ τὸν ὄφιν ἐκτείνατε·
ὅθεν σήμερον
τὴν ἱερὰν ὑμῶν μνήμην
ἑορτάζομεν ἐν εὐφροσύνῃ καρδίας,
10 Χριστὸν μεγαλύνοντες.

ᾠδὴ δ΄. *Ὑμνῶ σε·*
ἀκοὴν γάρ, κύριε,

f. 109 ‖ Σωμάτων
τῶν φθαρτῶν ἠλόγησαν
οἱ θεόφρονες στρατιῶται
60 καὶ ἑλκυσμοὺς ἤνεγκαν
καὶ μάστιγας γενναιοφρόνως
Χριστῷ ὁμοφρόνως ἀνακράζοντες·
« σοῦ τῇ ἀγάπῃ, λόγε, θανατούμεθα ».

heirm. καθ. cfr. MR I, 9 1-10 καθ. cfr. MR II, 545
heirm. δ΄ EE 38, n. 51, Cosmae

63 cf. Ps. 43,22; Rom. 8,36

Ποθοῦντες
65 τὰ λαμπρὰ καὶ μένοντα
ἀδιάρρευστα αἰωνίως,
τὴν κοσμικὴν ἅπασαν
ἠρνήσασθε τρυφὴν καὶ δόξαν,
Χριστῷ ἀνενδότως ἀτενίζοντες
70 καὶ ἐκβοῶντες· « δόξα τῇ δυνάμει σου ».

Ῥωσθέντες
τῇ δυνάμει, ἔνδοξοι,
τοῦ τὰ πάντα τεκτηναμένου,
πολυειδῆ κάκωσιν
75 καὶ θλίψεων πυρὰν γενναίως
Χριστῷ ὑπεμείνατε, κραυγάζοντες·
« οὐδὲν ἡμᾶς χωρίσει τῆς ἀγάπης σου ».

θεοτ. Ὁ λόγος
προελθὼν ἐκ μήτρας σου
80 σαρκοφόρος, θεογεννῆτορ,
f. 109v τοὺς || λογικούς, ἄχραντε,
ἐρρύσατο τῆς ἀλογίας
αὐτῷ εὐχαρίστως ἀναμέλποντας·
« σοῦ τῇ δυνάμει δόξα, ὑπεράγαθε ».

ᾠδὴ ε'. *Ὁ φωτισμὸς*

85 Σκιαμαχῶν
ὁ μαινόλης καὶ ἄφρων
καὶ παραπαίων
τύραννος ἐλύττα καὶ πρὸς ἀπόντας
καὶ ἀφορήτοις κατακρίνει βασάνοις,
90 ἀθλοφόροι, ὑμᾶς κραυγάζοντας·
« μόνον σε, Χριστέ, βασιλέα γινώσκομεν ».

Ἐν τῷ πυρὶ
τῆς ἀγάπης τοῦ κτίστου
ὑπαναφθέντες,

heirm. ε' ΕΕ 34, n. 46, Joannis

77 Rom. 8,35

95 μάρτυρες ἀήττητοι, ὡς ἀστέρες
τὰς λαμπηδόνας ἐπυρσεύσατε κόσμῳ
τῆς γενναίας ὑμῶν ἀθλήσεως,
χάριν ἐφαπλοῦντες ἡμῖν τῶν ἰάσεων.

Ξύλον ζωῆς
100 καὶ τρυφὴν αἰωνίαν
καὶ ἀφθαρσίας
ἔνδυμα ὑπέρφωτον, ἀθλοφόροι,
Χριστοῦ τὰ θεῖα ἡγησάμενοι πάθη,
f. 110 || ἑκουσίως θανεῖν ὑπέστητε
105 μέλλοντες τρυγῆσαι ζωὴν τὴν αἰώνιον.

θεοτ. Ἡ φοβερὰ
τῆς ἐτάσεως ὥρα
πολλῆς δειλίας
ἔμπλεών με τίθησι καὶ πικρίας·
110 ἔχω γὰρ πράξεις καταδίκης, παρθένε,
ἡ τεκοῦσα κριτὴν μακρόθυμον
πρόστηθί μοι τότε καὶ ῥῦσαι κολάσεως.

ᾠδὴ ς'. *Πρὸς κύριον ἐκ κήτους*

Κρατύναντες ὁμόφρονι,
μάρτυρες, φρονήματι
115 ὅλην τὴν φάλαγγα
ἑαυτῶν καὶ συγκροτήσαντες
ἀλλήλους προτροπαῖς,
ἀνδρικῶς ἐστήσατε
κατ' ἐχθρῶν θεοδόξαστα τρόπαια.

f. 110v 120 || Οἱ γνήσιοι θεράποντες
καὶ φίλοι τοῦ κτίσαντος
προσομιλήσαντες
τῇ καμίνῳ τῶν κολάσεων,
λαμπρότεροι χρυσοῦ
125 ἐκεῖθεν ἐφάνησαν
ἀμετάθετον γνώμην τηρήσαντες.

heirm. ς' ΕΕ 39, n. 53, Cosmae   109 ἔμπλεων cf. Mitsakis. 35-36,§65
112 προστίθει

106-107 cf. Hb. 10,27; Ap. 14,7

Νικώμενος ὁ τύραννος
ὑμῶν ταῖς ἐνστάσεσι,
μάρτυρες ἔνδοξοι,
130 τῷ θυμῷ κατεπίμπρατο
καὶ μείζονας ὑμῖν
κολάσεις ἐφεύρισκεν,
ἀλλ' εἰς μάτην· ἠλέγχθη μαινόμενος.

Τὸ βέβηλον τῆς γλώττης
135 καὶ τῆς γνώμης τὸ κίβδηλον
δημοσιεύοντες
οἱ ἑπτὰ ματαιόφρονες
ἐπλήγησαν ψυχὰς
φόβῳ τῶν κολάσεων
140 καὶ Χριστὸν κακοφρόνως ἠρνήσαντο.

θεοτ. Ἁγίασον, ἁγνὴ
παρθενομῆτορ, μέ, δέσποινα,
τὸν ἐν τοῖς πάθεσι
στυλωθέντα καὶ γενόμενον
145 ληστῶν τῶν νοητῶν
ζοφερόν τι σπήλαιον
f. 111 λογισμοὺς βορ||βορώδεις δεχόμενον.

Κοντάκιον.

Ἦχος β'. *Τὰ ἄνω ζητῶν*

Τὸν νοῦν πρὸς Χριστὸν
ἐρείσαντες, πανόλβιοι,
σφαγὴν τὴν αὐτοῦ
γενναίως εἰκονίζοντες
5 τῶν αἱμάτων χύσεσιν
ἀπιστίας λύθρον κατεπαύσατε,
μαρτυρικῶς ἀνδρισάμενοι
καὶ δόξαν ἐξ ὕψους κομισάμενοι.

---

heirm. κοντακ. MR I, 17

145-146 Matth. 21,13

Ὁ οἶκος.

Τίς ἀνυμνήσει
τοὺς ἀθλοφόρους;
τίς ἀξίως λαλήσει
τὴν αὐτῶν ἐν δεινοῖς
5 ὁμολογίαν καὶ ἔνστασιν;
τρεῖς πρὸς ἑξήκοντα γεγονότες
ἐτροπώσαντο πλήθη τὰ τῶν Ἀράβων,
ὑπὲρ Χριστοῦ τὸ θανεῖν εὐσεβῶς
ἀσπασάμενοι
10 καὶ χάριν τῶν ἰαμάτων
παραδόξως λαβόντες, ἀγάλλονται
ὑπὲρ ἡμῶν ἱκετεύοντες
f. 111v τῶν || τελούντων αὐτῶν τὸ μνημόσυνον
καὶ δόξαν ἐξ ὕψους κομισάμενοι.

ᾠδὴ ζ'. *Ἀντίθεον πρόσταγμα παρανομοῦντος*

Μαρτύρων τὴν εὔκλειαν ἐπιποθοῦντες,
μαρτύρων ἐδράμετε
150 καὶ δρόμον τὸν ἀοίδιμον·
διὸ καὶ τοῖς μάρτυσι
νῦν συναγάλλεσθε,
μάρτυρες ἀήττητοι Χριστοῦ,
μαρτύρων δόξαν ἀπενεγκάμενοι.

155 Ἀνίκητον ἔνστασιν, ἀνδρείαν γνώμην,
ψυχὴν ἀταπείνωτον
τῷ πάσχειν ἐπεδείξασθε·
διὸ καὶ ἐπάξια
γέρα ἐλάβετε
160 στάσεως ἀγγέλων ἐν θεῷ
τετυχηκότες καὶ τῆς λαμπρότητος.

« Ῥυσθείημεν, — ἔκραζον οἱ ἀθλοφόροι —
Χριστὲ ὑπεράγαθε,

---

heirm. ζ' EE 34, n. 46, Joannis

κακίας τοῦ ἀλάστορος
165 τῇ σῇ κραταιούμενοι
f. 112 ‖ παντοδυνάμῳ χειρί,
ὅπως ἀριστεύσαντες ἐν σοὶ
τῷ μόνῳ κτίστῃ ἀναπαυσώμεθα ».

θεοτ. Τὰς νόσους τοῦ σώματος καὶ τῆς ψυχῆς μου,
170 ἁγνή, τὰ παθήματα
ἰάτρευσον καὶ δίδου μοι
καρδίᾳ καὶ χείλεσι
καθαρωτάτοις ὑμνεῖν
σὲ τὴν μεγαλύνασαν ἡμᾶς
175 τῷ μεγαλείῳ τῆς σῆς κυήσεως.

ᾠδὴ η'. *Τῷ δόγματι τῷ τυραννικῷ*

Ὑπέρκειται γλώσσης γηγενοῦς
ὑμῶν ἡ θαυμαστὴ καρτερία·
ὢ πῶς τεμνόμενοι σάρκα πληγαῖς
ὡς ἄσαρκοι ἵστασθε,
180 « εὐλογεῖτε — βοῶντες —
τὰ ἔργα τὸν κύριον ».

‖ Ῥωννύμενοι σθένει θεϊκῷ
f. 112ᵛ ἐχαίρετε, μηχανουργίαις ἁπάσαις
καὶ προσβολαῖς παθημάτων δεινῶν
185 ἀκλόνητοι ὤφθητε,
« εὐλογεῖτε — βοῶντες —
τὰ ἔργα τὸν κύριον ».

Ἀνύστακτον ἔχοντες ψυχῆς
τὸ βλέφαρον, γενναῖοι ὁπλῖται,
190 εἰς τὸν νυμφῶνα Χριστοῦ τὸν τερπνὸν
εὐκαίρως εἰσήλθετε·
« εὐλογεῖτε τὰ ἔργα
κυρίου τὸν κύριον ».

Σωτήριος πύλη τῆς ζωῆς,
θεοτ. 195 διάνοιξον ζωῆς μου τὰς πύλας

heirm. η' EE 39, n. 53, Cosmae 173 ὑμνῶ

194 Ez. 44,1-2

καὶ παραδείσου πολίτην κἀμὲ
ἀνάδειξον, ψάλλοντα·
« εὐλογεῖτε τὰ ἔργα
κυρίου τὸν κύριον ».

ᾠδὴ θ'. *Ἡ τὸν πρὸ ἡλίου φωστῆρα*

200 Σώματα γενναίως παρέδωκαν
f. 113 ‖ βασάνων ταῖς πυρώσεσιν
οὐ δειλιῶντες στρέβλας τῶν κολάσεων,
τῷ δριμεῖ δὲ τῶν αἰκισμῶν
τὴν γλυκεῖαν ἀπόλαυσιν
205 τοῦ παραδείσου ἄριστα
οἱ γενναιόφρονες ἀντέθηκαν.

Ἔφραξαν τὸ στόμα τὸ βάρβαρον
οἱ μάρτυρες οἱ ἔνδοξοι
καὶ τὴν ὀφρὺν τὴν τύραννον κατίσχυσαν,
210 πρὸς θωπείας, πρὸς ἀπειλάς,
πρὸς στρεβλώσεις, πρὸς μάστιγας
καὶ πρὸς σφαγὴν καὶ θάνατον
μείναντες ἄτρεπτοι τὸ φρόνημα.

Βέβαιον νῦν δόξαν εὑρόντες,
215 ἀθλοφόροι, καὶ ἀσάλευτον
καὶ χαρμονὴν ἀΐδιον καὶ ἄληκτον φῶς,
καὶ ἡμᾶς κοινωνοὺς
καὶ μετόχους προσδέξασθε,
τοὺς τὴν ὑμῶν γεραίροντας
f. 113ᵛ 220 μνήμην ἐν ᾄσμασι, ‖ πανεύφημοι.

θεοτ. Ὢ τῶν ὑπὲρ νοῦν σου θαυμάτων
καὶ τεράτων, θεονύμφευτε,
ὅτι παρθένος μένουσα συνέλαβες
καὶ παρθένος παιδοτοκεῖς
225 καὶ τῷ τόκῳ συνήρμοσας
τὴν παρθενίαν, ἄσυλον
ὄντως τηρήσασα καὶ ἄφθορον.

heirm. θ' EE 40, n. 53, Cosmae

21 OCT. *CANON* XXVII

IN SANCTUM HILARIONEM

Synaxarium, 153-154: Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος, πρεσβυτέρου γενομένου καὶ ἀναχωρητοῦ τῆς ἐρήμου. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ μεγάλου ἐν τῇ Γαζαίων πόλει ... ἔρωτι δὲ τῆς παιδεύσεως παρεγένετο ἐν Ἀλεξανδρείᾳ..... Περὶ τῆς πολιτείας δὲ ἀκούσας τοῦ μεγάλου Ἀντωνίου, ζηλωτὴς αὐτοῦ γέγονε, καὶ διέμεινε παρ᾽ αὐτῷ ἐπί τινα χρόνον τὴν ἀσκητικὴν διαγωγὴν καταμανθάνων αὐτοῦ ..... καὶ καταλαμβάνει τὴν ἔρημον ἐσθήματι τρυχίνῳ καὶ μηλωτῇ σκεπόμενος..... πολλῶν τε καὶ μεγάλων θαυμάτων αὐτουργὸς γέγονε· πολλὰς δὲ διήμειψε χώρας, τὴν ἐξ ἀνθρώπων ὄχλησιν φεύγων καὶ τὴν κενοδοξίαν..... Ἐβίωσεν δὲ ἔτη ὀγδοήκοντα.....

Crypt. Δ.α. XIII = Cc, ff. 36-39

Ἦχος πλ. α΄.

ᾠδὴ α΄ ... deest

ᾠδὴ γ΄. *Ἐπὶ τὰ ἔθνη - ὁ θεὸς ἐβασίλευσεν*

Δουλαγωγήσας
τῆς σαρκός σου τὸ φρόνημα,
τὴν τύχην, ὅσιε,
ἐγκρατείᾳ ἐφαίδρυνας
5 καὶ γέγονας ἐπίγειος ἄγγελος, μακάριε.

Τὰς τοῦ κυρίου
ἐντολὰς καὶ πρωῒ καὶ νυκτὸς
μελετῶν, ὅσιε,
ξύλον ὤφθης ζωῆς φυτευθὲν
10 ἐν ταῖς πνευματικαῖς διεξόδοις τῆς ἀσκήσεως.

Ἐπὶ τῶν ὤμων
τὸν σταυρόν σου ἀράμενος,

---

canon mutilus in Cc, lapsis quibusdam pagellis
heirm. γ΄ EE 135, n. 189, Germani

9-10 cf. Ps. 1,3   11-12 cf. Matth. 16,24; Marc. 8,34; Luc. 9,23

αἰσθητῷ σώματι
νοητῶς τὸν ἀσώματον
15 κατήσχυνας ἐχθρόν, Ἱλαρίων παμμακάριστε.

τριαδ. Ὦ παναγία,
σέ, θεότης, δοξάζομεν
τὸν πατέρα ἅπαντες,
τὸν υἱὸν τὸν συνάναρχον
20 καὶ τὸ ἐκπορευτὸν πνεῦμα ἅγιον καὶ σύνθρονον.

θεοτ. Ἐν γαστρί σου
χωρηθεὶς ὁ ἀχώρητος
τὸν Ἀδὰμ ἔσωσεν
καὶ τῆς πλάνης ἀπήλλαξε·
25 διό σε, θεοτόκε παρθένε, μακαρίζομεν.

Κάθισμα.

Ἦχος πλ. α΄. *Τὴν σοφίαν τοῦ λόγου ἐν σῇ γαστρὶ*

Ἐγκρατείας ἱδρῶσιν ἀσκητικοῖς
κατασβέσας τὴν φλόγα τὴν τῶν παθῶν,
πᾶσιν ἀνέβλυσας
τῶν θαυμάτων τὸ πέλαγος
5 καὶ ἐν αὐτῷ ὡς δεύτερος
Μωϋσῆς κατεπόντισας
τὰ τῆς πλάνης ἅρματα,
δαιμόνων τὰς φάλαγγας·
ὅθεν συνελθόντες καταχρέως τιμῶμεν
10 τὴν πάνσεπτον μνήμην σου,
θεοφόρε πατὴρ ἡμῶν,
Ἱλαρίων μακάριε,
πρέσβευε τοῦ σωθῆναι ἡμᾶς.

---

15 κατήσχυσας
heirm. κάθ. cf. MR I, 9

κάθ. 6-7 Ex. 14,26-28

f. 36v || ᾠδὴ δ'. *Τὰ ἔργα - τῆς οἰκονομίας σου, κύριε,*

Τὸν σταυρόν σου
εὐαγγελικῶς, παμμακάριστε,
ἀράμενος, ἠκολούθησας Χριστῷ
καὶ τοῦτον πλοῦτον ἀντὶ πάντων ἐκτήσω·
30 αὐτὸν γὰρ ἀπὸ βρέφους ἠγάπησας.

Ἀντωνίου
καὶ τὴν πολιτείαν καὶ τὴν ἀρετὴν
ἐζήλωσας, Ἱλαρίων, εὐσεβῶς
ἐν προσευχαῖς, ἐν ἀγρυπνίαις, ἐν πόνοις
35 ἀσκήσεως, θεόφρον πατὴρ ἡμῶν.

Οἱ τὸν βίον
καὶ τὰς ἀρετάς σου δοξάζοντες
πρεσβείαις σου ἐκφανῶμεν μιμηταὶ
τῶν ἔργων σου, Ἱλαρίων θεόφρον,
40 καὶ πάσης τρικυμίας ῥυσθείημεν.

τριαδ. Τὰ τρία
τῆς μιᾶς θεότητος πρόσωπα
καὶ ἄτμητα καὶ ἀσύγχυτα ὑμνῶ·
τῇ φύσει γὰρ συναπτόμενα καὶ δόξῃ
45 διῄρηνται ἐν ταῖς ὑποστάσεσιν.

θεοτ. Ἡ παρθένος
ἐν γαστρὶ συνέλαβε κύριον
καὶ ἔτεκέ σε, τὸν Ἐμμανουήλ·
ἐξῆλθες γὰρ εἰς σωτηρίαν λαοῦ σου
50 τοῦ σῶσαι τοὺς χριστούς σου, φιλάνθρωπε.

ᾠδὴ ε'. *Τὸ φῶς τὸ ἀληθινόν, Χριστὲ ὁ θεός,*

Θαυμάτων σε θησαυρὸν ἀνέδειξεν
ἡ ζωηφόρος τοῦ πνεύματος δωρεὰ
ἐν σοὶ σκηνώσασα, θεόφρον πατήρ.

heirm. δ' EE 135, n. 189, Germani
heirm. ε' EE 135, n. 189, Germani

26-28 cf. Matth. 16,24; Marc. 8,34; Luc. 9,23; 46-48; Js. 7,14; Matth. 1,23; Luc. 1,31 49-50 cf. Hb. 3,13; Ti 1,15.

Ἐν τῇ ἐκλάμψει τῶν σῶν, θεόφρον πάτερ,
55 κατορθωμάτων καὶ ἰαμάτων ἡμεῖς
καταυγαζόμενοι Χριστὸν ὑμνοῦμεν.

f. 37 τριαδ. || Ἡ ἐν προσώποις τριάς, ἑνὰς ἐν φύσει,
κυριαρχίᾳ καὶ παντοκρατορίᾳ,
πάτερ, υἱὲ καὶ τὸ πνεῦμα, σῶσον ἡμᾶς.

θεοτ. 60 Παρθένε μήτηρ, ἁγνή, εὐλογημένη,
ταῖς σαῖς πρεσβείαις ῥυσθῶμεν τῶν κινδύνων,
οἱ θεοτόκον ἀεὶ δοξάζοντές σε.

ᾠδὴ ς'. *Ἐβόησα ἐν θλίψει
πρὸς σὲ τὸν οἰκτίρμονα·
εἰσάκουσον τῆς φωνῆς τῆς κραυγῆς μου
καὶ ἀναβήτω ἐκ φθορᾶς
ἡ ζωή μου πρὸς σέ, ὁ θεός.*

Τῆς ἄνω βασιλείας
τὸν κλῆρον κτησάμενος,
65 ἐτέλεσας τὸν τῆς ἀσκήσεως δρόμον
καὶ μετετέθης, ὅσιε,
πρὸς τοὺς πατέρας σου ἐν γήρᾳ καλῷ.

Ἀντίδοσιν τῶν πόνων
ἐκτήσω τῶν ἀσκητικῶν,
70 μακάριε, τὴν πρὸς θεὸν παρρησίαν,
ἀλλὰ πρεσβεύειν, ὅσιε,
μὴ ἐλλίπῃς ὑπὲρ πάντων ἡμῶν.

τριαδ. — ´ — — — ´ —
— ´ — — ´ — —
75 — ´ — — — — — ´ — — ´ —
— ´ — ´ — ´ — —
— — — ´ — — — ´ — — ´

59 ἡμῖν
heirm. ς' om. EE, sed cfr. EE 16 n. 21, Germani (ἠχ. α'), huic prope similem 73-77 τριαδ. deest in cd., ubi autem patet spatium ad hoc servatum

65 cf. II Tim. 4,7

θεοτ. Τεχθῆναι ἐκ παρθένου
ἐν χρόνῳ ὁ ἄχρονος
80 θεὸς ἡμῶν ἐν σαρκὶ εὐδοκήσας,
τῆς τοῦ ἐχθροῦ ὡς φιλάνθρωπος
ἠλευθέρωσας δουλείας ἡμᾶς.

f. 37v ‖ ᾠδὴ ζ'. *Εὐλογητὸς εἶ, ὁ θεός,*

Εὐλογητὸς εἶ, ὁ θεός,
ὁ τοὺς ἀσθενοῦντας
85 διὰ τοῦ θεοφόρου ἰώμενος,
ὁ ὑπερύμνητος καὶ ὑπερένδοξος.

Εὐλογητὸς εἶ, ὁ θεός,
ὁ δόξῃ θαυμάτων
δοξάσας τὸν σοφὸν Ἱλαρίωνα,
90 ὁ ὑπερύμνητος καὶ ὑπερένδοξος.

Εὐλογητὸς εἶ, ὁ θεός,
ὁ τὸν θεοφόρον
καταξιώσας τῆς βασιλείας σου,
ὁ ὑπερύμνητος καὶ ὑπερένδοξος.

τριαδ. 95 Εὐλογητὸς εἶ, ὁ θεός,
ὁ εἷς μὲν τῇ φύσει
προσώποις δὲ τρισὶ γνωριζόμενος,
ὁ ὑπερύμνητος καὶ ὑπερένδοξος.

θεοτ. Εὐλογητὸς εἶ, ὁ θεός,
100 ὁ τεχθεὶς ἀσπόρως
καὶ τὴν μητέρα δείξας ἁγνεύουσαν,
ὁ ὑπερύμνητος καὶ ὑπερένδοξος.

---

heirm. ζ' EE 135, n. 188, Andreae

ᾠδὴ η'. *Τὸν ποιητὴν τῆς κτίσεως*

Τοῖς τῶν θαυμάτων, ὅσιε,
κρουνοῖς τὰ νοσήματα καθαίρεις ἀεὶ
105 τῶν ὑπερυψούντων
Χριστὸν εἰς τοὺς αἰῶνας.

Τῆς ἐγκρατείας, ὅσιε,
τῇ δρόσῳ κατέσβεσας τὴν κάμινον
τῶν παθῶν γενναίως,
110 θεόφρον Ἱλαρίων.

Τὸν ἀρεταῖς φαιδρύναντα
καὶ καταλαμπρύναντα τὸν ὅσιον,
Χριστὸν ἀνυμνοῦμεν
ἀεὶ εἰς τοὺς αἰῶνας.

τριαδ. 115 Τριὰς ἡ ὁμοούσιος
καὶ μονὰς ἄκτιστος καὶ πάντων θεός,
σὲ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

θεοτ. Τὴν θεοτόκον ἅπαντες,
120 ὡς μόνην γεννήσασαν Χριστὸν τὸν θεόν,
οἱ πιστοὶ ὑμνοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

f. 38 ‖ ᾠδὴ θ'. *Σὲ τὴν μακαρίαν ἐν γυναιξὶ*

Τὸν διὰ πολλῆς ἀσκήσεως
καταξιωθέντα φίλον θεοῦ
125 Ἱλαρίωνα ἅπαντες
γενέσθαι μεγαλύνομεν.

---

heirm. η' EE 135, n. 188, Andreae
heirm. θ' EE 136, n. 189, Germani

Ἐκ τῶν τῆς ψυχῆς δακρύων σου
ἤρδευσας σαυτόν, παράδεισον
τῆς ἐνύλου κακίας
130 ἀνθρώπων χωριζόμενον.

Σὲ τὸν ἀναδείξαντα τοῖς πιστοῖς
λάμποντα φωστῆρα, κύριον,
τὸν σοφὸν ἀσκητήν σου
ἐν ὕμνοις μεγαλύνομεν.

τριαδ. 135 Σὲ τὴν παντουργὸν θεότητα
ὡς τοῖς χαρακτῆρσι τρισυπόστατον,
τὸν πατέρα, υἱὸν καὶ
τὸ πνεῦμα μεγαλύνομεν.

θεοτ. Ὑψηλοτέραν τῶν οὐρανῶν
140 καὶ ἁγιωτέραν τῶν Χερουβίμ,
ὡς τεκοῦσαν τὸν ὅλων
δεσπότην, μεγαλύνομεν.

---

141 τῶν

139-142 cf. Ἄξιόν ἐστιν: in Ἡ θεία λειτουργία, ed. Roma (1967) 112.

In SANCTUM ABERCIUM

Synaxarium, 153-155; Μνήμη τοῦ ἁγίου καὶ ἰσαποστόλου πατρὸς ἡμῶν Ἀβερκίου ἐπισκόπου Ἱεραπόλεως Φρυγίας Σαλουταρίας ...

Par. gr. 1619 = P, ff. 115-116

Ὁ κανών.

Ἦχ. πλ. δ'.

ᾠδὴ α'. *Τὸν Ἰσραὴλ ἐκ δουλείας*

Ἱερωσύνης κανόνα
καὶ ἀρετῶν εἰκόνα σε
ἐπέγνωμεν, θεράπον Χριστοῦ,
ᾧ ἀπαύστως πρέσβευε
5 σωθῆναι τὰς ψυχὰς ἡμῶν.

115v ‖ Τὸν ἐγκρατείᾳ καὶ πόνοις
τῶν παθῶν τὸν τάραχον
τελείως καταργήσαντα,
τὸν ἱεράρχην ἅπαντες
10 Ἀβέρκιον ὑμνήσωμεν.

θεοτ. * Διὰ παντός, θεοτόκε,
τὸ ἐκ σοῦ ἱκέτευε
ἀρρήτῳ λόγῳ σαρκωθέντα θεὸν
πάσης περιστάσεως
15 λυτρώσασθαι τοὺς δούλους σου.

---

tit. in rubrica Γερμανοῦ legimus
heirm. α' EE 226, n. 324, Germani — 2 σου
11-15 θεοτ. MR VI, 532

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος*

Θυσίαν προσήγαγες
σεαυτὸν τῷ λυτρωτῇ
καὶ ζωῆς ἀϊδίου
τυχεῖν κατηξίωσαι,
20 ὡς αὐτὰ μαρτυροῦσιν
τὰ σὰ κατορθώματα,
Ἀβέρκιε μακάριε.

Ὁ βίος σου γέγονεν
ἱερέων κανών,
25 ὁ δὲ λόγος, Ἀβέρκιε,
τοὺς πλάνης ἐπαίδευσεν
ἀνυμνεῖν τριάδα·
διὸ καὶ τὴν μνήμην σου
ἐν πίστει ἑορτάζομεν.

θεοτ. 30 * Παρθένος ἔτεκες,
ἀπειρόγαμε,
καὶ παρθένος ἔμεινας,
μῆτερ ἀνύμφευτε
θεοτόκε Μαρία,
35 Χριστὸν τὸν θεὸν
ἱκέτευε σωθῆναι ἡμᾶς.

ᾠδὴ δ'. *Εἰσακήκοα τὴν ἀκοὴν*

Ὡς τηρήσαντα εὐσεβῶς
τὴν ὀρθόδοξον πίστιν,
ἱεράρχα, καταχρέως εὐφημοῦμέν σε.

40 Ὑποτύπωσις εὐσεβοῦς
πολιτείας ἐδείχθης
ταῖς ἀρεταῖς σου, θεοφόρε παμμακάριστε.

---

heirm. γ' EE 226, n. 323, Germani 30-36 θεοτ. MR I, 291
heirm. δ' deest in EE, sed prope similis illi ἦχ. β' MR I 96

θεοτ. Ἀνυμνοῦμέν σε, οἱ πιστοί,
θεοτόκε παρθένε,
45 ὡς κυήσασαν τὸν λόγον καὶ λυτρωτὴν ἡμῶν.

ᾠδὴ ε'. *Ὀρθρίζοντες βοῶμέν σοι, κύριε,*

Μὴ παύσῃ ἱκετεύων τὸν κύριον,
ἱεράρχα,
σῶσαι τὰς ψυχὰς ἡμῶν
τῶν ἐκτελούντων τὴν μνήμην σου.

50 Ἐφώτισεν ὁ βίος σου, ἅγιε,
τοὺς ἀνθρώπους
πάντας προσκαλούμενος
εἰς ἀρετῶν τελειότητα.

θεοτ. * Παρθένον μετὰ τόκον ὑμνοῦμέν σε,
55 θεοτόκε·
σὺ γὰρ τὸν θεὸν λόγον
σαρκὶ τῷ κόσμῳ ἐκύησας.

ᾠδὴ ς'. *Χιτῶνά μοι παράσχου φωτεινὸν*

116ᵛ Τῷ βίῳ σου τὸν λόγον εὐσεβῶς,
πάτερ, κατεκόσμησας
60 ἐν ᾧ κοσμούμενος,
θεοφόρε ἱεράρχα τοῦ σωτῆρος Χριστοῦ.

Εὐάρεστος γενόμενος θεῷ
ἱκέτευε, πάνσοφε,
ὅπως ῥυσθείημεν
65 τῆς μελλούσης τῶν δεινῶν ἀποφάσεως.

θεοτ. * Ἡ μόνη διὰ λόγου ἐν σαρκὶ
τὸν λόγον κυήσασα,

---

45 λόγον] θεοτόκον
heirm. ε' EE 226, n. 324, Germani 54-57 θεοτ. MR I, 183
heirm. ς' EE 224, n. 321, Joannis 60 κοσμούμενος: ἦσθα subaudias
66-69 θεοτ. MR I, 183

ῥῦσαι δεόμεθα
τῶν παγίδων τοῦ ἐχθροῦ τὰς ψυχὰς ἡμῶν.

ᾠδὴ ζʹ. *Ὁ ἐν ἀρχῇ*

70 Ὁ τῇ πλοκῇ
τοῦ λόγου σαγηνεύσας
διὰ τοῦ σοῦ ἱεράρχου τὰ ἔθνη,
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν.

75 Ὁ παρασχὼν
τῷ σοφῷ ἱεράρχῃ
τὴν δύναμιν τοῦ ἁγίου πνεύματος,
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν.

θεοτ. 80 * Ὁ ἐν γαστρὶ
τῆς παρθένου οἰκήσας
καὶ ἐν αὐτῇ τὸν Ἀδὰμ ἀναπλάσας,
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν.

ᾠδὴ ηʹ. *Τὸν τοῦ παντὸς δημιουργὸν*

85 Τὸν μεγαλύναντα θεὸν
τοῦ ἱεράρχου τὸ μνημόσυνον
ἱερεῖς εὐλογεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

90 Τὸν ἀρεταῖς πνευματικαῖς
κατακοσμήσαντα τὸν ἅγιον
ἱερεῖς εὐλογεῖτε,

heirm. ζʹ EE 226, n. 323, Germani — 80-84 θεοτ. ed. MR V, 116
heirm. ηʹ EE 135, n. 189, Germani (ἦχ. πλ. αʹ).

λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

θεοτ. 95 Τὸν ἐπ᾿ ἐσχάτων δι᾿ ἡμᾶς
ἐκ παρθένου σαρκωθέντα θεὸν
ἱερεῖς εὐλογεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θʹ. *Μεγαλύνομέν σε τὴν παμμώμον*

100 Μεγαλύνομεν πάντες τὸν ἱεράρχην
τοῦ Χριστοῦ, τὸν φωτίσαντα
πᾶσαν τὴν περίγειον
ταῖς διδασκαλίαις αὐτοῦ.

Τῇ τομῇ τοῦ λόγου τὰς ἀκάνθας
105 ἐκτεμὼν τῶν αἱρέσεως,
πρὸς τρίβον ἀπλάνητον
ὡδήγησας ἅπαντας.

θεοτ. Χαῖρε, πύλη ἁγία, τῷ θεῷ
ἀνεῳγμένη τῷ μόνῳ σοφῷ,
110 ἐν ᾗ ἐπεσκίασε
τὸ πνεῦμα τὸ ἅγιον.

heirm. θʹ EE 226, n. 323, Germani

108-109 Ez. 44,1-2

IN SANCTUM APOSTOLUM IACOBUM

Synaxarium, 155-157: Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος καὶ ἀποστόλου Ἰακώβου ἀδελφοῦ τοῦ Κυρίου. Οὗτος ὁ ἅγιος Ἰάκωβος ἦν υἱὸς Ἰωσήφ, ἀδελφὸς δὲ τοῦ Κυρίου διὰ τὴν τοῦ Ἰωσὴφ πρὸς τὴν ἁγίαν Θεοτόκον μνηστείαν..... Ἐχειροτονήθη δὲ ὑπὸ τοῦ Κυρίου ἐπίσκοπος Ἱεροσολύμων.... Καὶ διὰ τὴν ἄγαν αὐτοῦ ἐγκράτειαν καὶ παρὰ τοῖς Ἰουδαίοις αἰδέσιμος ἦν καὶ τὸν δίκαιον ἔσχε προσηγορίαν. Περὶ δὲ τοῦ λέγεσθαι τὸν μακάριον Ἰάκωβον ἀδελφόθεον καὶ δίκαιον, φέρεταί τι τοιοῦτον ἐκ παραδόσεως..... Ὁ δὲ Ἰάκωβος παραλαβὼν αὐτὸν εἰς τὴν αὐτοῦ μερίδα συγκληρονόμον, οὐ μόνον ἐκλήθη ἀδελφόθεος, ἀλλὰ καὶ δίκαιος. Τοῦτον οὖν τὸν ἀδελφόθεον καὶ δίκαιον ὁρῶντες οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι πολλοὺς τῶν Ἰουδαίων καὶ τοὺς ἐξ ἐθνῶν πείθοντα καὶ πληροφοροῦντα περὶ τοῦ Ἰησοῦ, ὅτι αὐτὸς θεός ἐστιν ἀληθινὸς καὶ αὐτὸς κάθηται ἐν τῷ οὐρανῷ ἐν δεξιᾷ τῆς δυνάμεως τοῦ πατρὸς αὐτοῦ, ἐρχόμενος μετὰ ταῦτα ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ κρῖναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, μανέντες διὰ τὴν τοῦ νόμου καταφρόνησιν καὶ ἀναγαγόντες αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ καὶ ἐπερωτήσαντες παρρησίᾳ, εἰ ὁ Ἰησοῦς Θεός ἐστιν, καὶ ἀκούσαντες αὐτοῦ μεγάλῃ φωνῇ κράζοντος ὅτι Θεὸς ἀληθινός ἐστιν, μέγα τι ἀναβοήσαντες· « Ὦ, ὤ, καὶ ὁ δίκαιος ἐπλανήθη » εὐθὺς καταβάλλουσιν αὐτὸν καὶ λίθοις βάλλουσιν καὶ ξύλῳ κναφέως κατὰ κεφαλῆς αὐτὸν κρούσαντες τῷ θανάτῳ παρέπεμψαν.

Mess. gr. 139 = Ma, ff. 61-63ᵛ

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Ἀδελφὸν Ἰάκωβον ὑμνῶ κυρίου.

Ἦχος α'.

ᾠδὴ α'. *Σοῦ ἡ τροπαιοῦχος δεξιά*

Ἀκτῖσι φωτὸς τοῦ νοητοῦ
καταστραφθεὶς τὴν διάνοιαν, ἔνδοξε,
ὅλος ἐχρημάτισας
φωτοειδής, Ἰάκωβε θεάδελφε,

heirm. α' EE 1, n. 1, Joannis

5 πᾶσαν ἀπελαύνων
τὴν νύκτα τῆς ἀθεότητος.

f. 61ᵛ ‖ Δίκαιος ἐκ βρέφους τῷ θεῷ
ἐκλελεγμένος καὶ ἄμεμπτος κέκλησαι,
τῆς δικαιοσύνης δὲ
10 μαρμαρυγαῖς αὐγασθείς, φῶς ἀπήστραψας
τῆς θεογνωσίας
καὶ τοὺς ἀνθρώπους ἐφώτισας.

θεοτ. Ἐκ σοῦ, παναμώμητε ἁγνή,
σεσαρκωμένος προῆλθεν ὁ κύριος
15 θεοτόκε ἄχραντε,
ὡς ἀγαθὸς ἀδελφὸν τὸν Ἰάκωβον
δίκαιον ὡς ὄντα
προσήκατο ὁ φιλάνθρωπος.

ᾠδὴ γ'. *Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν*

Λαμπρύνας σαυτὸν ταῖς ἀρεταῖς,
20 δοχεῖον ἐχρημάτισας
τοῦ παναγίου πνεύματος, ἔνδοξε,
καὶ μυστηρίων θείων διάκονος
τοῦ Χριστοῦ γενόμενος,
παρ' αὐτοῦ κεκλήρωσαι,
25 ἱεράρχα, τὰ θεῖα χαρίσματα.

Φαιδρὸς ὡς ἀστὴρ τοῦ νοητοῦ
ἡλίου ἐξορμώμενος,
τὴν ἐκκλησίαν σὺ ἐδᾳδούχησας,
ὡς μύστης ὄντως καὶ μαθητὴς τοῦ Χριστοῦ
30 ἀδελφός τε δίκαιος
προσκληθείς, Ἰάκωβε,
καὶ τὴν κτίσιν αὐγάζεις τοῖς θαύμασιν.

θεοτ. Ὁ μόνος θεὸς τὴν τῶν βροτῶν
οὐσίαν προσλαβόμενος

heirm. γ' EE 1, n. 1, Joannis 25 χαρίσμα

35 ἐκ σοῦ, παρθενομῆτορ, ἐπέφανεν·
ὃν ἐν τῇ δόξῃ πατρὸς θεώμενος
ὁ κλεινὸς Ἰάκωβος
τοῖς λαοῖς ἐκήρυττε
θεοτόκον κυρίως δοξάζειν σε.

ᾠδὴ δ'. *Ὄρος σε τῇ χάριτι τῇ θείᾳ κατάσκιον*

40 Νομίμοις
ἐντρυφῶν δικαιώμασιν, ἄμεμπτος
χάριτος ὤφθης λειτουργὸς
τῶν μυστηρίων ἀκραιφνής,
παμμάκαρ Ἰάκωβε,
45 ὡς μαθητὴς
καὶ γὰρ αὐτόπτης, μακάριε,
ὑπηρέτης τοῦ λόγου γενόμενος.

f. 62 || Ἰδών σου
ἀκλινὲς τοῦ δικαίου τὸ φρόνημα
50 ὁ ἀδικώτατος λαὸς
καὶ φονικώτατος δῆμος
Ἑβραίων κατέλευσε
τὸν ἀπλανῆ
ὁ πλάνης πλήρης, Ἰάκωβε,
55 θεοῦ υἱόν τὸν Χριστόν σε κηρύττοντα.

θεοτ. Ἀσπόρως
σὺ μόνη γαλουχεῖς, μητροπάρθενε·
τὸν ποιητὴν γὰρ τοῦ παντὸς
τίκτεις καὶ φέρεις ἐν γαστρί,
60 τὸν μύστην καὶ κήρυκα
καὶ μαθητὴν
αὐτοῦ, Ἰάκωβον, δείξαντα
καὶ ἀδελφὸν προσηκάμενον, δέσποινα.

---

heirm. δ' EE 1, n. 1, Joannis

ᾠδὴ ε'. *Ὁ φωτίσας*

Κυβερνήσας
65 τὴν Χριστοῦ ἐκκλησίαν, ἀπόστολε,
διεσώσω
ἐκ βυθοῦ ἀγνωσίας τοῖς δόγμασι,
τῶν ἐθνῶν θαλάσσας δὲ
ἐκταράξας, ἐπεβιβάσθης
70 καὶ γὰρ ὡς ἵππος, θεόληπτε.

Ὡς εἰρήνης
ποταμὸς εἰς τὰ ἔθνη κλινόμενος
κατακλύζεις
ἀπιστίας τὸ πρόσωπον, ἔνδοξε,
75 τὰς ψυχὰς ἀρδεύεις δὲ
θεογνωσίας ἐπομβρίαις
τὰς τῶν ἀνθρώπων, θεόληπτε.

θεοτ. Βάτος πάλαι
προετύπου τὸν τόκον σου, ἄχραντε,
80 ὃν ἑώρα
ἐν σπηλαίῳ σαφῶς ὁ Ἰάκωβος,
ἐκ παρθένου μήτρας γὰρ
μὴ λύσαντα τὰς σὰς σφραγῖδας
καὶ θεοτόκον σε δείξαντα.

ᾠδὴ ς'. *Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος*

85 Ὁ λίθος τῆς Σιὼν ὁ τεθειμένος, Χριστός,
τὴν θείαν ᾠκοδόμησεν
ἐκκλησίαν ἣν τῷ αἵματι αὐτοῦ
περιεποιήσατο ὡς εὔσπλαγχνος
καὶ τὰς αὐτῆς ἶνας, μάκαρ, χερσί σου ἔθετο.

---

heirm. ε' EE 1, n. 1, Joannis
heirm. ς' EE 1, n. 1, Joannis

68-70 Ps. 75,6; Js. 22,6 79-81 Ex. 3,2 85 Rom. 9,33; I ep. Petr. 2,6 86-87 Matth. 16,18

90 Νεφέλη γλυκασμὸν ἀποσταλάζουσα
ἐγνώσθης, παμμακάριστε,
καταρδεύων τὰς καρδίας τῶν πιστῶν
ταῖς διδασκαλίαις σου, θεόσοφε,
f. 62ᵛ καὶ τὸν αὐχ||μὸν τῆς ἀθεΐας ἀποδιώκουσα.

θεοτ. 95 Ὑμνοῦμέν σε, ἁγνὴ θεομακάριστε,
δοξάζοντες τὸν τόκον σου
τὸν δοξάσαντα τὴν μνήμην ἐπὶ γῆς
τὴν τοῦ Ἰακώβου, μητροπάρθενε,
καὶ τοὺς βροτοὺς ἡμᾶς, θέσβυτα, τῇ μεσιτείᾳ σου.

Κοντάκιον.

Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

Ὁ τοῦ πατρὸς μονογενὴς
....

Ὁ οἶκος.

Τὸν γόνον σὲ τοῦ Ἰωσὴφ
....

ᾠδὴ ζ'. *Σὲ νοητὴν*

100 Μίαν ἀρχήν,
μίαν κυριότητα,
μίαν θεότητα τρισὶν
ὑποστάσεσιν ἀληθῶς
σέβειν διετράνωσας,

92 καταρδεύων pro καταρδεύουσα habeas: Mitšakis 258
κοντάκ. et οἶκ. ed. MR I, 500
heirm. ζ' EE 1, n. 1, Joannis

90 Amos 9,13

105 ἱεράρχα ἔνδοξε,
καὶ ἐκβοᾶν ἐξεπαίδευσας·
« ὁ αἰνετὸς τῶν πατέρων
θεὸς καὶ ὑπερένδοξος ».

Νόμου σκιαῖς
110 τυπωθείς, Ἰάκωβε,
ἐξανατείλαντι Χριστῷ
μεμαθήτευσαι καὶ αὐτοῦ
f. 63 μάρτυς ἐχρημάτι||σας,
δόξαν ἀπαστράπτοντα
115 τὴν πατρικὴν ἀγγείλας αὐτόν·
« ὁ αἰνετὸς τῶν πατέρων
θεὸς καὶ ὑπερένδοξος ».

θεοτ. Ὡς καθαρὸν
σὲ δοχεῖον, δέσποινα,
120 σκηνώσας λόγος τοῦ πατρός,
ἐπεσπάσατο ἀδελφὸν
δίκαιον Ἰάκωβον,
πάσαις ἀπαστράπτοντα
ταῖς ἀρεταῖς καὶ πιστούμενον
125 ὡς ἀληθῶς θεοτόκον
ἁγνήν, κυρίως ἄχραντε.

ᾠδὴ η'. *Ἐν καμίνῳ παῖδες Ἰσραὴλ*

Κοσμηθεῖσα σοῦ ταῖς ἡδοναῖς
Χριστοῦ ἡ ἐκκλησία
καὶ δόσεσιν ἀγαθαῖς
130 κατεντρυφῶσα, τὴν σεπτὴν
μνήμην ἑορτάζουσα
καὶ βοῶσα· « πάντα τὰ ἔργα κυρίου
τὸν κύριον ὑμνεῖτε,
καὶ ὑπερυψοῦτε
135 αὐτὸν εἰς τοὺς αἰῶνας ».

heirm. η' EE 1, n. 1, Joannis

Ὑπερήρθης δόξῃ εὐκλεῶς
ὡς δίκαιος, ὡς μάρτυς,
ὡς μύστης, ὡς μαθητής,
ὡς ὑπηρέτης, ὡς Χριστῷ
140 κραυγάζων, Ἰάκωβε·
« εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου,
τὸν κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

θεοτ. 145 Ῥητορεύει τόκον τῆς ἁγνῆς
παρθένου καὶ κηρύττει
θεὸν τὸν σεσαρκωμένον
ὁ Ἰάκωβος λαοῖς,
προθνήσκων ὡς μάρτυς αὐτοῦ
150 καὶ κραυγάζων· « πάντα τὰ ἔργα κυρίου,
τὸν κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Τύπος τῆς ἁγνῆς λοχείας σου*

Ἴθυνας εὐχαῖς, Ἰάκωβε,
155 τοὺς σὲ ὑμνοῦντας, μάκαρ, ἀπολυτρούμενος
ἐκ κινδύνων τε
καὶ ἐπηρείας καὶ θλίψεως
νοσημάτων καὶ πάσης κακώσεως,
ὅπως μετ' εὐφροσύνης
160 ἐπιτελοῦμέν σου τὴν μνήμην ἀεί.

Ὅλην τὴν αὐγὴν τοῦ πνεύματος
εἰσδεδεγμένος, μάκαρ, τρανῶς τεθέασαι
δόξῃ τοῦ πατρός,
τὸν υἱὸν συνεδρεύοντα
165 καὶ τὴν δόσιν τὴν θείαν σοι νέμοντα·
ἧς, κῆρυξ χρηματίσας,
μάρτυς θεάδελφος γεγένησαι.

---

heirm. θ' EE 1, n. 1, Joannis heirm. Τύπον EE 167 γεγέννησαι

θεοτ. Ὕμνοις ἀσιγήτοις μέλπομεν
τὸν σὸν υἱόν, παρθένε, καὶ κύριον
170 καὶ σὲ τὴν ἁγνὴν
θεοκυήτορα σέβομεν,
f. 63ᵛ ‖ ὡς διδάσκει ὁ θεῖος Ἰάκωβος·
τὰ ἔθνη σαγηνεύει
καὶ Ἰουδαίων τρέπει ἄνοιαν.

172-174 quam inscitus tropari exitus! 173 σαγηνεύει-τρέπει ... quis? σαγηνεύων-τρέπων correxerim

23 OCT. *CANON* XXX

IN SANCTUM IGNATIUM ARCHIEPISCOPUM C/POLITANUM

Synaxarium, 158-160: Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰγνατίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως....

Crypt. Δ.α. XIII = Cc, ff. 47-52

Ὁ κανὼν τοῦ ὁσίου Ἰγνατίου, φέρων ἀκροστιχίδα·
Τὸν κλεινὸν Ἰγνάτιον ὑμνῶ προφρόνως· Ἰωσήφ.

Ἦχος α'.

ᾠδὴ α'. *Σοῦ ἡ τροπαιοῦχος δεξιὰ*

Ταῖς ὑπερκοσμίοις ἀστραπαῖς
καταλαμφθείς, φῶς τοῦ κόσμου γεγένησαι
ταῖς ἱερωτάταις σου,
ἱερουργέ, καὶ ὑπερτίμοις πράξεσιν·
5 ὅθεν ὡς υἱόν σε
φωτὸς ἀεὶ μακαρίζομεν.

Ὄλβιος καὶ πλήρης φωτισμοῦ
f. 46v || τοῦ παναγίου γενόμενος πνεύματος,
χαίρων μεταβέβηκας
10 πρὸς τὰς σκηνὰς τὰς αἰωνίους, ὅσιε,
δήμοις ἱερέων
πανευκλεὴς συνταττόμενος.

Νέκρωσιν παθῶν φθοροποιῶν·
ἐν ἀγαθῷ συνειδότι κτησάμενος,
15 ἄγγελος ἐν σώματι

---

heirm. α' EE 1, n. 1, Joannis 12 πανευκλεεῖς

περιφανῶς, παμμάκαρ, ἐχρημάτισας,
ἀρχιερωσύνης
ταῖς καλλοναῖς σεμνυνόμενος.

Κόσμος χρηματίσας μοναστῶν
20 καὶ ἱερέων κανὼν καὶ ὀχύρωμα,
πρὸς τὰ ὑπερκόσμια
χαρμονικῶς σκηνώματα, Ἰγνάτιε,
ἐν ἀγαλλιάσει
ψυχῆς μετέβης, πανόλβιε.

θεοτ. 25 Λάμψας ἐκ λαγόνων σου, ἁγνή,
δικαιοσύνης ὁ ἄδυτος ἥλιος,
πάντας κατεφαίδρυνε
τοὺς ἐν νυκτὶ τῆς πλάνης κινδυνεύοντας
καὶ τὸ πρῶτον κάλλος
30 φρενοβλαβῶς ἀπολέσαντας.

f. 48 || ᾠδὴ γ'. *Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν*

Ἐπλάκη σοι στέφανος διπλοῦς,
παμμάκαρ ἱερώτατε,
ἱερωσύνης καὶ ἀσκήσεως
καὶ νῦν τὰ ἄνω οἰκεῖς βασίλεια,
35 καθωραϊζόμενος
καλλοναῖς τῶν πόνων σου
καὶ μεθέξεσι θείαις θεούμενος.

Ἰδεῖν ἐφιέμενος Χριστοῦ
τὸ κάλλος τὸ ἀμήχανον
40 καὶ τὴν σεπτήν, σοφέ, ὡραιότητα,
καλῶν ἰδέαις σαυτὸν ἐφαίδρυνας
καὶ χερσὶν ἁγίαις σου
ἀναιμάκτοις ἔθυσας
τὸν δι᾽οἶκτον τυθέντα ὡς πρόβατον.

45 Νοῒ λαμπροτάτῳ καθαρῶς
προβαίνων εἰς τὰ ἅγια

---

heirm. γ' EE 1, n. 1, Joannis

44 cf. Act. 8,32

τὰ τῶν ἁγίων, μάκαρ Ἰγνάτιε,
καὶ τῷ ἁγίῳ καὶ θείῳ πνεύματι
καταλαμπρυνόμενος,
50 φωτισμοῦ μετέδωκας
τοῖς πιστῶς προσιοῦσιν, ἀοίδιμε.

θεοτ. Ὁ ἄνω πατρὶ μονογενὴς
ἀφράστως συννοούμενος
μονογενὴς ἐκ σοῦ, παναμώμητε,
55 ὑπὲρ αἰτίαν καὶ νοῦν γεγένηται
καὶ θεοῖ τὸν ἄνθρωπον
διὰ μέγα ἔλεος,
παναγία παρθένε θεόνυμφε.

f. 48v || Κάθισμα.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Φωστὴρ ἐχρημάτισας
τῆς ἐκκλησίας Χριστοῦ
καὶ λόγοις καὶ πράξεσι
φωταγωγῶν τοὺς πιστούς,
5 θεόφρον Ἰγνάτιε·
ὅθεν, τὴν ἱεράν σου
ἑορτάζοντες μνήμην,
πίστει ἀνευφημοῦμεν
τοὺς ἐνθέους σου πόνους,
10 δι' ὧν κληρονομεῖς τὴν ζωὴν
τὴν ἀτελεύτητον.

ᾠδὴ δ'. *Ὄρος σε*
τῇ χάριτι τῇ θείᾳ κατάσκιον

Νέμει σοι
60 τὴν ἄλυπον ζωὴν ὁ φιλάγαθος,
θλίψεις πολλὰς καὶ πειρασμοὺς

heirm. καθ. HR, 63
heirm. δ' EE 1, n. 1 Joannis

καθυπομείναντι, σοφέ,
καὶ πόλεμον ἄραντι
πρὸς δυσμενεῖς τοὺς ἀοράτους, Ἰγνάτιε,
65 ὧν τῆς κακίας εὐχαῖς ἡμᾶς λύτρωσαι.

Ἴσχυσας,
νευρούμενος δυνάμει τοῦ πνεύματος,
τὸν ἐν κακίᾳ δυνατὸν
καταυχούμενον ἑλεῖν
70 καὶ τρόπαιον ἔστησας
τὴν κατ' αὐτοῦ νίκην, παμμάκαρ Ἰγνάτιε,
πατριαρχῶν ἱερῶν ἐγκαλλώπισμα.

Νάμασι
κατάρρυτος ὑπάρχων τοῦ πνεύματος,
f. 49 75 || ταῖς ἐπιθέσεσι τῶν σῶν,
πάτερ Ἰγνάτιε, χειρῶν
πολλοὺς καθηγίασας
καὶ τῷ θεῷ ξενοπρεπῶς καθιέρωσας,
ὡς ἱεράρχης σοφὸς θεόληπτος.

θεοτ. 80 Ἄνθρακα
τὸν θεῖον ἐν νηδύϊ, πανάμωμε,
εἰσδεξαμένη ὑπὲρ νοῦν
οὐ κατεφλέχθης ἀληθῶς·
ἡ βάτος γὰρ πόρρωθεν
85 συμβολικῶς τὴν σὴν λοχείαν εἰκόνιζεν,
εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

ᾠδὴ ε'. *Ὁ φωτίσας*

Τὰς χεῖράς σου
τὰς ὁσίας ἐπαίρων πρὸς κύριον,
ἐπευλόγεις,
90 θεοφόρε, λαὸν τελεώτατα
ὃν σοὶ κατεπίστευσεν

72 post v. troparium a littera Γ incipiens petit acrostichis heirm. ε' EE 1, n. 1, Joannis

84-85 Ex. 3,2

ἡ δεξιὰ ἡ τοῦ ὑψίστου,
ἱεραρχῶν ἀκροθίνιον.

Ἱέρευσας
95 ἑαυτὸν τῷ θεῷ δι' ἀσκήσεως
καὶ ἔθυσας
ἀναιμάκτως, παμμάκαρ Ἰγνάτιε,
τὸν ἀμνὸν τὸν αἴροντα
τὰς ἁμαρτίας τῶν ἀνθρώπων
100 ὑπερβολῇ ἀγαθότητος.

Οὐκ ἔδωκας
τοῖς κροτάφοις σου, πάτερ, ἀνάπαυσιν,
f. 48ᵛ || Ἰγνάτιε,
ἕως οὗ τῆς σαρκὸς κατεκοίμησας
105 πάθη τὰ ὀλέθρια
καὶ νῦν πρὸς φέγγος μετετέθης
τὸ καθαρὸν καὶ ἀνέσπερον.

θεοτ. Νεκρώσεως
δερματίνους χιτῶνας ἀπέθετο,
110 πανάμωμε,
ὁ Ἀδάμ, ἀφ' οὗ τοῦτον ἐνδέδυται
ἐκ σοῦ ὁ ὑπέρθεος
καὶ τὸ ἀρχαῖον πρὶν κάλλος
ὑπερβαλλόντως ἀπείληφεν.

ᾠδὴ ϛ'. *Ἐκύκλωσεν ἡμᾶς*

115 Ὑπῆλθες ἐκ παιδὸς
τὸν ἐλαφρότατον
ζυγόν, θεομακάριστε,
ἁμαρτίας τὸ φορτίον τὸ βαρὺ
ἀποτιναξάμενος ἐν χάριτι
120 καὶ τοῦ Χριστοῦ
θεράπων θεῖος σὺ ἐχρηματίσας.

---

heirm. ϛ' EE 1, n. 1, Joannis

98-99 Joh. 1,29

Μεγάλης ἐπιβὰς
καθέδρας, ὅσιε,
μεγίστοις κατορθώμασι
125 κατεκόσμησας αὐτὴν θεοπρεπῶς·
ὅθεν συνελθόντες εὐφημοῦμέν σε,
ἱερουργέ,
μεγαλοφώνως, πάτερ Ἰγνάτιε.

Νοήσεσι σεπταῖς
130 ὡραϊζόμενος
καὶ πίστει λαμπρυνόμενος
καὶ ἀγάπῃ φαιδρυνόμενος — ⏑́ —
⏑́ — — — ⏑́ — — — ⏑́ — —
θεοπρεπῶς,
135 πατὴρ πατέρων ὤφθης, Ἰγνάτιε.

f. 49 θεοτ. Ὡράθης Χερουβίμ,
|| θεοχαρίτωτε
παρθένε, ὑπερέχουσα·
τὸν ἐπ' ὤμων γὰρ ὀχούμενον αὐτῶν,
140 ἄχραντε, ἀγκάλαις σου ἐβάστασας·
ὅθεν σε νῦν
ὡς θεοτόκον πάντες δοξάζομεν.

f. 49ᵛ ᾠδὴ ζ'. *Σὲ νοητὴν*

Πολυειδεῖς
πειρασμοὺς ὑπέμεινας
145 ἀπὸ νεότητος, σοφέ,
μέχρι γήρως καὶ λαμπρυνθείς,
πάτερ ἱερώτατε,
ὡς χρυσὸς ἐπέλαμψας
καταπλουτίζων τοὺς ψάλλοντας·
150 « ὁ αἰνετὸς τῶν πατέρων
θεὸς καὶ ὑπερένδοξος ».

---

132 duae syllabae desunt   133 versus desideratur
heirm. ζ' EE 1, n. 1, Joannis

Ῥώμη θεοῦ,
πάσας τοῦ ἀλάστορος
καταβαλὼν τὰς μηχανάς,
155 ἐχρημάτισας ἱερεὺς
ὅσιος, ἀμίαντος,
ἄκακος, ἀκέραιος,
ἀναβοῶν ἐμμελέστατα·
« ὁ αἰνετὸς τῶν πατέρων
160 θεὸς καὶ ὑπερένδοξος ».

Ὁλολαμπὴς
στῦλος ἐχρημάτισας
νέου λαοῦ θεοπρεπῶς
προηγούμενος ἱεραῖς,
165 πάτερ, εἰσηγήσεσι
θείαν πρὸς κατάπαυσιν
καὶ μελῳδῶν ἐμφανέστατα·
« ὁ αἰνετὸς τῶν πατέρων
θεὸς καὶ ὑπερένδοξος ».

θεοτ. 170 Φέρεις θεὸν
σάρκα περικείμενον
ἐν ταῖς ἀγκάλαις σου, ἁγνή,
ὥσπερ θρόνος χερουβικός,
φέροντα τῷ ῥήματι
175 πάντα τῆς δυνάμεως,
ᾧ μελῳδοῦμεν γηθόμενοι·
« ὁ αἰνετὸς τῶν πατέρων
θεὸς καὶ ὑπερένδοξος ».

f. 50 ᾠδὴ η΄. *Ἐν καμίνῳ παῖδες Ἰσραὴλ*

Ῥάβδῳ θείᾳ, πάτερ, τοῦ σταυροῦ
180 σθενούμενος, τοῦ βίου
ἑστήκεις ἀκαταπόντιστος
τὸ πέλαγος, σοφέ,
κραυγάζων, Ἰγνάτιε·

---

154 καταλαβὼν
heirm. η΄ EE 1, n. 1, Joannis

155-157 cf. Hb. 7,26

« εὐλογεῖτε, πάντα τὰ ἔργα κυρίου,
185 τὸν κύριον, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

Ὀρθοδόξοις δόγμασι τραφείς,
ποιμὴν ἀνηγορεύθης
190 ποιμάνας ἐπὶ σωτήριον,
Ἰγνάτιε, μονήν,
κραυγάζων τὸ ποίμνιον·
« εὐλογεῖτε, πάντα τὰ ἔργα κυρίου,
τὸν κύριον, ὑμνεῖτε
195 καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

Νόμους θείους, πάτερ, συντηρῶν,
πᾶσαν παρανομίαν
ἐξέκλινας, ὡς ἐχέφρων
200 ἐκλεξάμενος βοῶν
τὸ κρεῖττον, Ἰγνάτιε·
« εὐλογεῖτε, πάντα τὰ ἔργα κυρίου,
τὸν κύριον, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
205 αὐτὸν εἰς τοὺς αἰῶνας ».

τριαδ. Ὡς μονάδα φύσει σε ὑμνῶ
διαιρετὴν προσώποις,
ἀγέννητον, γεννητόν,
⟨— — ⏑́⟩ ἐκπορευτόν,
210 θεὸν μέλπων ἄκτιστον·
« εὐλογεῖτε, πάντα τὰ ἔργα κυρίου,
τὸν κύριον, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

θεοτ. 215 Συντηρήσας σήμαντρα τῆς σῆς,
παρθένε, παρθενίας
ἀλώβητα ὁ δεσπότης
προελήλυθε Χριστὸς

---

192 κραυγάζων pro κραυγάζον, Mitsakis 158-160 209 tres syllabae desunt

ἐκ σοῦ ὑπὲρ ἔννοιαν
220 εἰς τὸ σῶσαι τοὺς μελῳδοῦντας·
« τὸν κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

f. 50v ᾠδὴ θ'. *Τύπον τῆς ἁγνῆς λοχείας σου*

Ἴδε, φωταυγὴς πανήγυρις
225 καλοῦ ποιμένος πᾶσιν ἡμῖν ἐξέλαμψε
ταῖς μαρμαρυγαῖς
τῆς τρισηλίου θεότητος
τῶν πιστῶν τὰς αἰσθήσεις λαμπρύνουσα,
ἣν πόθῳ ἐκτελοῦντες,
230 πνευματικῶς πανηγυρίζομεν.

Ὥσπερ προσφορὰν ὁλόκληρον
τὴν σὴν ψυχὴν εἰς χεῖρας θεοῦ παρέδωκας
θλίψεσι πολλαῖς
καὶ ἀσθενείαις, Ἰγνάτιε,
235 λαμπρυνθεῖσαν χρυσίου εὐρύτερον
καὶ νῦν ψυχαῖς δικαίων
συνεπαγάλλῃ, παμμακάριστε.

Στήσας ἐπὶ πέτραν, ὅσιε,
τῆς ἀληθείας βάσεις τὰς τῆς καρδίας σου,
240 πᾶσι πειρασμοῖς
τοῖς διὰ βίου, Ἰγνάτιε,
ἀπερίτρεπτος σθένει τοῦ πνεύματος
διέμεινας, θεόφρον·
ὅθεν σε πάντες μακαρίζομεν.

245 Ἤρθης ἐπιβὰς ὀχήματι
τῶν ἀρετῶν πρὸς ὕψος, πάτερ, οὐράνιον
καὶ κατέπαυσας
f. 51 ‖ πρὸς τὰ ἐκεῖσε σκηνώματα
συναγάλλεσθαι, πάτερ Ἰγνάτιε,

---

heirm. θ' EE 1, n. 1, Joannis 235 λαμπρυνθεῖσα

238-242 cf. Matth. 7,24-25; Luc. 6,48 245 cf. IV Regn. 2,11

250 πατριαρχῶν χορείαις,
μεθ' ὧν ἡμῶν ἀεὶ μνημόνευε.

θεοτ. Φρίττει τῶν ἀγγέλων τάγματα
τὸν ὑπὲρ νοῦν σου τόκον, θεοχαρίτωτε,
255 ὃν γὰρ οὐδαμῶς
ἐνατενίζειν ἰσχύουσι·
τοῦτον φέρεις ἀγκάλαις ὡς νήπιον
εἰς πάντων σωτηρίαν
τῶν εὐσεβῶς μακαριζόντων σε.

---

255 ὃν] ᾧ

25 OCT. *CANON* XXXI

IN SANCTOS MARCIANUM ET MARTYRIUM

Synaxarium, 161-162: Ἄθλησις τῶν ἁγίων μαρτύρων Μαρκιανοῦ καὶ Μαρτυρίου τῶν ἀναγνωστῶν καὶ νοταρίων. Οὗτοι φοιτηταὶ ὑπῆρχον καὶ ὑπογραφεῖς Παύλου τοῦ ὁμολογητοῦ, πατριάρχου Κωνσταντινουπόλεως γεγονότος μετὰ τὴν κοίμησιν Ἀλεξάνδρου, ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ ἀρειανοῦ..... διὰ ταύτην τὴν αἰτίαν καὶ οὗτοι οἱ μάρτυρες ἀνῃρέθησαν μαχαίρᾳ....

Crypt. Δ.α. II	= Cr,	ff. 95-98
Mess. gr. 52	= M,	ff. 36v-37
Mess. gr. 135	= N,	ff. 120-123v
Vat. gr. 2	= V,	ff. 61v-62v
Barber. gr. 535	= B,	ff. 163-168v
Sinait. gr. 563	= Σχ,	ff. 39v-41

Ὁ κανών.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Τὸν Ἰσραὴλ ἐκ δουλείας*

Τοὺς εὐσεβεῖς ἀθλοφόρους
ἐν ᾠδαῖς καὶ ᾄσμασι,
πιστοί, ἀνευφημήσωμεν
Μαρκιανὸν τὸν ἔνδοξον
5 καὶ σὺν αὐτῷ Μαρτύριον.

Ὡς ζηλωταὶ ὀρθοδοξίας
καὶ πίστεως πρόμαχοι

---

tit. κανὼν τῶν ἁγίων νοταρίων Μαρκιανοῦ καὶ Μαρτυρίου - in margine f. 39v Σχ Γερμανοῦ legitur

heirm. α' EE 226, n. 324, Germani 6-10 troparium om. V 7 πρόμαχοι] θρέμματα Cr B

Χριστῷ τῷ ἀρχιποίμενι
εὐωδίας θύματα
10 δι' αἵματος ἐδείχθητε.

Ἐν ταῖς ἀκτῖσι τῶν δογμάτων,
μάρτυρες ὑπέρλαμπροι,
τὸ σκότος ἀπελάσαντες
τῶν αἱρέσεων, ἐμφανῶς
15 φωστῆρες ἀνεδείχθητε.

Ὁμονοοῦντες τῇ πίστει
πρακτικῶς οἱ ἅγιοι,
τοῖς δόγμασι τῆς χάριτος
τοῦ Ἀρείου ἅπασαν
20 τὴν ἄνοιαν κατῄσχυναν.

θεοτ. * Διὰ παντός, θεοτόκε,
τὸν ἐκ σοῦ ἱκέτευε
ἀρρήτῳ λόγῳ σαρκωθέντα θεὸν
πάσης περιστάσεως
25 λυτρώσασθαι τοὺς δούλους σου.

ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω

Ὁμόψυχοι
καὶ ὁμόγνωμοι ὄντες,
οἱ ἀθλοφόροι Χριστοῦ
ὑπὲρ τῆς εὐσεβείας
30 τὸ αἷμα πιστῶς ἐξέχεαν.

Ἐκόσμησαν
ἑαυτοὺς ὀρθοδόξῳ

---

8 ἀρχιποίμνη M 10 προήχθηται M προσήχθητε N B 11-15 om. M B 16-20 om. M N 16 τῇ πίστει] ἀλλήλοις B 21-25 θεοτ. ed. MR VI, 432

odes β' tantum in Cr et Σχ exstat

heirm. β' 226, n. 324, Germani, quamquam hic ubique quaedam discrepantiae notantur

πίστει οἱ ἅγιοι
καὶ τοῦ σωτῆρος τῶν ὅλων
35 ἐδείχθησαν ἀθλοφόροι Χριστοῦ.

Ἐκλάμψαντες
ὀρθοδοξίας ἀκτῖσιν,
οἱ τοῦ Χριστοῦ ἀθληταὶ
κακοδοξίας ὁμίχλην
40 ἐδίωξαν τῇ ἀθλήσει αὐτῶν.

θεοτ. * Ἄχραντε
θεοτόκε παρθένε,
μόνη πανύμνητε,
τὸν υἱόν σου δυσώπει
45 σωθῆναι τοὺς ἀνυμνοῦντάς σε.

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος*

Μονάδα θεότητος,
ἀθλοφόροι σεπτοί,
ἐν τρισὶν ὑποστάσεσιν
σαφῶς δογματίσαντες,
50 στῦλοι ὀρθοδοξίας
γεγόνατε, ἅγιοι,
ἐν τῇ ἐκκλησίᾳ Χριστοῦ.

Τὸν Παῦλον, μακάριοι,
τὸν ὑμῶν ἀληθῶς
f. 95v 55 ‖ ἐν τῇ πίστει διδάσκαλον
σαφῶς μιμησάμενοι,
σὺν αὐτῷ ἐν τῇ δόξῃ
Χριστοῦ συναυλίζεσθε,
μάρτυρες παγκόσμιοι.

41-45 θεοτ. ed. Anth. I, υξζ'
heirm. γ' EE 226, n. 323, Germani
50 στύλος M 53 πανάγιοι V οἱ ἅγιοι B 54 ὡς ἀληθῶς M
56 σοφῶς M N V B, ἐκμημούμενοι N 58 ἐναυλίζεσθε V B 59 παγκόσμιοι] ἀείττητοι M

60 Τῷ ξίφει τμηθέντες,
ἀθλοφόροι Χριστοῦ,
ὑπὲρ τῆς εὐσεβείας
ἐνθέῳ φρονήματι
ἀδιαίρετοι τούτου
65 γεγόνατε, ἅγιοι,
πρεσβεύοντες σωθῆναι ἡμᾶς.

θεοτ. * Παρθένος ἔτεκες,
ἀπειρόγαμε,
καὶ παρθένος ἔμεινας,
70 μῆτερ ἀνύμφευτε·
θεοτόκε Μαρία,
Χριστὸν τὸν θεὸν ἡμῶν
ἱκέτευε σωθῆναι ἡμᾶς.

Κάθισμα.

Ἦχος γ'. *Θείας πίστεως ὁμολογίᾳ - ἄλλον*

Δόγμα ἔνθεον
ὁμολογοῦντες,
μέχρις αἵματος
τὴν ὑπὲρ τούτου
5 ἐνεδείξασθε, μάρτυρες, ἔνστασιν,
τῶν κακοδόξων τὴν πλάνην ἐλέγξαντες
καὶ ὀρθοδόξως τὴν πίστιν στηρίξαντες,
ἀλλ' αἰτούμενοι
Χριστὸν τὸν θεὸν μὴ παύσησθε
10 δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

60-66 troparium om. N 66 τοῦ σωθῆναι M 67-73 θεοτ. ed. MR I, 291-292 70 μήτηρ V 71 Μαρία] παρθένε V 72 ἡμῶν om. MR κάθ. om. M N V Σχ: 7 ὀρθοδόξων malim
heirm. καθ. ed. HR, 292

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην,
κατενόησα τὰ ἔργα σου
καὶ ἐδόξασα τὴν οἰκονομίαν σου

Μαρκιανὸν καὶ Μαρτύριον
75 τοὺς ἀθλοφόρους, πιστοί, συμφώνως
ἐν ᾠδαῖς ἀνευφημήσωμεν
ὡς τῆς πίστεως ἑδραίωμα ἄσειστον.

Τὴν Ἀρείου κακόνοιαν
καὶ Εὐνομίου καὶ Σαβελλίου
80 διελέγξαντες, μακάριοι,
τῇ ἀθλήσει ὑμῶν τῆς δόξης ἐτύχετε.

Τὰς ἀκάνθας οἱ ἅγιοι
τῆς δυσσεβείας ἐν τῇ δρεπάνῃ
ἐκτεμόντες τῇ τοῦ πνεύματος,
85 ὀρθοδοξίας πυρὶ ἐνθέως κατέφλεξαν.

Τὴν δυάδα τιμήσωμεν
f. 96 || τῶν ἀθλοφόρων φωναῖς ᾀσμάτων·
τὴν τριάδα γὰρ κηρύξαντες
ὁμοούσιον, τὸ αἷμα ἐξέχεαν.

θεοτ. 90 * Χαῖρε, θρόνε πυρίμορφε·
χαῖρε, λυχνία λαμπαδηφόρε,
νοερὸν θυσιαστήριον,
κιβωτὲ λογική, ἁγία ἁγίων σκηνή.

ᾠδὴ ε'. *Ὁ ἐκ νυκτὸς ἀγνοίας*

Ἀνατολῇ φανέντες
95 ὀρθοδοξίας οἱ ἅγιοι μάρτυρες,

---

heirm. δ' EE 231, n. 331, Andreae 4 heirm. καὶ ἐδόξασα τὸ κράτος σου, δέσποτα EE et N 78-81 troparium om. V 81 τῆς δόξης ἐτύχετε] στεφάνους ἐδέξασθε B 82-85 troparium om. N B 86-89 troparium om. M N 87 φωναῖς] ᾠδαῖς V 90-93 θεοτ. ed. TR, 472
heirm. ε' EE 226, n. 323, Germani

---

77 cf. I Tim. 3,15 90 Dan. 7,9 91 Ex. 25,31; Hb. 9,2 93 κιβωτὲ Ps. 131,8 σκηνὴ Hb. 9,3-8

δύσιν κακοδοξίας
ἀπήλασαν ἀκτῖσι τῆς πίστεως.

Τῷ πλάτει τῶν δογμάτων
τῆς εὐσεβείας οἱ πάνσοφοι μάρτυρες
100 τοῦ Ἀρείου τὴν πλάνην
στενώσαντες, εἰς τέλος ἠφάνισαν.

Τοὺς τὴν ὑμῶν τελοῦντας,
ἔνδοξοι μάρτυρες, μνήμην λυτρώσασθε
ταῖς ὑμῶν ἱκεσίαις
105 ἐκ πάσης τοῦ ἐχθροῦ περιστάσεως.

θεοτ. * Τῶν Χερουβὶμ φανεῖσα
τιμιωτέρα, παρθένε πανύμνητε,
πρέσβευε τῷ υἱῷ σου
σῶσαι τὰς ψυχὰς τῶν ὑμνούντων σε.

ᾠδὴ ς'. *Συνεχόμενον δέξαι με, φιλάνθρωπε,*

110 Ὑπὲρ τῆς πίστεως, ἅγιοι, ἀθλήσαντες
τῶν πιστῶν ἀληθῶς
ἀνεδείχθητε θερμοὶ προστάται
καὶ μάρτυρες ἀήττητοι Χριστοῦ τοῦ θεοῦ.

Τῷ ἱστίῳ οἱ ἅγιοι τῆς πίστεως
115 ἐκφυγόντες σαφῶς
τῶν αἱρέσεων τὰς τρικυμίας,
γαλήνης θείας ἔτυχον δυνάμει Χριστοῦ.

---

96 τὴν κακόδοξον πλάνην M Σχ 97 στενώσαντες εἰς τέλος ἠφάνησαν M, sed cfr. v. 101 98-101 om. N 98 πλάττει M 101 πᾶσαν ὀρθοδόξως κατέβαλον M 102-105 om. M Σχ 103 ἔνδοξον ... λυτρώσασθαι N 105 ἐκ om. Cr B 106-109 θεοτ. ed. TR, 15 109 ὑμνολογούντων σε M
heirm. ς' EE 226, n. 324, Germani 111 πιστῶς N 114-117 om. B 114 ἠστίω M 117 θείας om. N

Παρρησίαν πρὸς κύριον κτησάμενοι,
ἀθλοφόροι σεπτοί,
120 διὰ αἵματος, αὐτῷ ἀπαύστως
πρεσβεύσατε, πανεύφημοι, σωθῆναι ἡμᾶς.

f. θεοτ. Ἡ θεὸν ἀναλλοίωτον χωρήσασα
καὶ τεκοῦσα σαρκὶ
ὑπὲρ ἔννοιαν, ἁγνὴ παρθένε,
125 σὲ θεοτόκον ἅπαντες δοξάζομεν.

Κοντάκιον.

Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

Ἀγωνισάμενοι καλῶς
....

Ὁ οἶκος. *Τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν*

Ὡς ὑπηρέτης ἀληθὴς
....

ᾠδὴ ζ'. *Ὁ δι' ἀγγέλου παῖδας*

Μαρκιανὸν συμφώνως
καὶ Μαρτύριον πάντες
ὡς ἀθλητὰς ὑμνήσωμεν,

118-121 om. M Σχ   122-125 aliud θεοτ. in M Σχ, quod inc. Ἡ τὸ πῦρ τῆς θεότητος..., ed. Par. Vitali, κθ'; et aliud θεοτ. in N, quod ita sonat: Οὐ φυρμὸν ἢ διαίρεσιν, οὐ σύγχυσιν, / οὐδὲ πάλιν τροπήν, / ἀειπάρθενε, / θεὸς ὑπέστη, ὃν ὑπὲρ νοῦν ἐκύησας σαρκὶ δι' ἡμᾶς.
κοντάκ. om. M B N Σχ   κοντάκ. ed. MR I, 515   οἶκ. om. M N V   οἶκ. ed. MR I, 515
heirm. ζ' EE 228, n. 326, Andreae   126-131 om. M Σχ   128 τιμήσωμεν N Σχ B

Χριστὸν δοξολογοῦντες
130 τὸν μεγαλύναντα αὐτῶν
τὰ μνημόσυνα.

Ὀρθοδοξίας ὅπλοις
οἱ ἅγιοι μάρτυρες
καθοπλισθέντες, ἅπασαν
135 τῶν κακοδόξων πλάνην
κατεπολέμησαν στερρῶς
τῇ ἀθλήσει αὐτῶν.

f. 96v ‖ Ὥσπερ φωστῆρες δύο
καταλάμπετε πάντας
140 τῆς εὐσεβείας, ἅγιοι,
ἀκτῖσι τοὺς ἐν πίστει
ἐν τῷ σεπτῷ ὑμῶν ναῷ
καταφεύγοντας.

θεοτ. Ὁ ἐκ μητρὸς παρθένου
145 σαρκωθεὶς ἀσυγχύτως
καὶ ὑπὲρ νοῦν καὶ ἔννοιαν
πάλιν αὐτὴν παρθένον
διαφυλάξας, ὁ θεὸς
ἡμῶν, δόξα σοι.

ᾠδὴ η'. *Τὸν ἐκ πατρὸς
πρὸ αἰώνων γεννηθέντα*

150 Τὸν ἐπὶ γῆς
τοὺς ἁγίους ἀθλοφόρους
ἀειφανεῖς

---

129 Χριστοῦ N   132-137 om. V   138-143 om. N   139 πᾶσι B   141 ἀκτῖνας V   143 καταφεύγουσα B   καθικετεύοντας M   144-149 hoc aliud θεοτ. in M V B: Χαῖρε, νεφέλη κούφη, / θεοτόκε πάνσεμνε, / ἡ τοῖς ἐν γῇ προχέουσα / ὄμβρον τῆς σωτηρίας· / χαῖρε, τὸ τεῖχος τῶν πιστῶς / ἀνυμνούντων σε.
heirm. η' EE 226, n. 324, Germani   152 πνευματικῶς M

ἀναδείξαντα φωστῆρας
ἱερεῖς ὑμνεῖτε,
155 λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Οἱ εὐσεβεῖς
ἀθλοφόροι, καθελόντες
τὴν τοῦ Ἀρείου
μανίαν, ἀνεβόων·
160 « ἱερεῖς ὑμνεῖτε,
λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας ».

Μαρκιανὸν
καὶ Μαρτύριον συμφώνως
ὡς παρρησίαν
165 πρὸς κύριον εὑρόντας
ἱερεῖς ὑμνεῖτε,
λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

θεοτ. Τὸν ἐκ μητρὸς
ἀπειράνδρου σαρκωθέντα
170 καὶ ἐκ φθορᾶς
λυτρωσάμενον τὸν κόσμον
ἱερεῖς ὑμνεῖτε,
λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Μεγαλύνομέν σε*
τὴν μητέρα τοῦ φωτὸς
καὶ δοξάζομέν σε
οἱ πιστοὶ καταχρέως,
ὡς μητέρα θεοῦ σε μακαρίαν.

Ἀνυψώσαντες
175 ἑαυτοὺς οἱ ἀθληταὶ

153 φωστῆρας] πατέρας M 156-161 hoc aliud troparium in M B: Τὸν παρασχόντα / στεφάνους ἀφθαρσίας / τοῖς ἀθλοφόροις / νικήσασι τὴν πλάνην, / ἱερεῖς ὑμ ⟨. . . . .⟩. 162-167 om. M N V 168-173 aliud θεοτ. in M, quod inc. Τὴν ὑπὲρ λόγον τεκοῦσα(ν). . ., ed. Anth. III, σζ'
heirm. θ' EE 228, n. 326, Andreae 4-5 heirm. θεοτόκε παρθένε, / ὡς σωτῆρα τεκοῦσαν τῶν ψυχῶν ἡμῶν EE 228 174-178 om. N

ἐν τῇ ὁμολογίᾳ
τῆς ἀχράντου τριάδος,
τοῦ Ἀρείου τὸ θράσος ἐταπείνωσαν.

Ὑπὲρ τῆς τριάδος
180 ἐναθλήσαντες στερρῶς,
ἡ δυὰς τῶν μαρτύρων
οὐρανῶν βασιλείαν
καὶ ἀπόλαυσιν θείαν ἐκληρώσαντο.

Ὁ θεός, ταῖς πρεσβείαις
185 τῶν ἁγίων ἀθλητῶν
τοὺς αὐτῶν τελοῦντας
τὴν σεβάσμιον μνήμην
ἐξ αἱρέσεως πάσης ἐλευθέρωσον.

θεοτ. * Εὐλογοῦμέν σε,
190 τὸν θεὸν τοῦ Ἰσραήλ,
τὸν ἐκ τῆς παρθένου
ἐπιφανέντα τῷ κόσμῳ
καὶ ἐγείραντα κέρας σωτηρίας ἡμῖν.

180 ἐναθλήσασα Cr B 184-188 om. Σχ 184 ταῖς om. M 186 αὐτὸν M τῶν αὐτοῖς τελούντων N 189-193 θεοτ. ed. TR, 348; hoc aliud θεοτ. in N: Μεγαλύνομέν σου / τὴν μεγαλύνασαν ἡμᾶς / τῷ ἀχράντῳ σου τόκῳ, / θεοτόκε παρθένε, / καὶ ἀνυμνοῦμεν ἀπαύστως καὶ μακαρίζομεν.

193 Luc. 1,69

26 OCT. *CANON* XXXII

IN SANCTUM DEMETRIUM

Synaxarium, 163-166: "Ἄθλησις τοῦ ἁγίου μεγαλομάρτυρος Δημητρίου. Οὗτος ὁ πανένδοξος μάρτυς τοῦ Χριστοῦ Δημήτριος ἦν ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν βασιλέων, ἐκ τῆς Θεσσαλονικέων ὁρμώμενος πόλεως, εὐσεβὴς ὢν ἄνωθεν καὶ τῆς εἰς Χριστὸν διδάσκαλος πίστεως....

Mess. gr. 135 = N, ff. 124-130v

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε.
Κλέος μέγιστον εὗρες ἀθλήσας, μάκαρ. Νικολάου.

Ἦχος α'.

ᾠδὴ α'. *Ὠδὴν ἐπινίκιον*

f. 124v ‖ Καρδίας τὰ ὄμματα
ἦρα εἰς ὕψος
πρὸς σὲ τὸν πανάγαθον,
ἐξαιτῶν σοφίας μοι
5 λόγον δωρήσασθαι
ἐγκωμιᾶσαι ἑορτὴν
τοῦ ἀθλοφόρου σου.

Λατρείαν προσάγοντα
θεῷ, παμμάκαρ,
10 δαιμόνων οἱ λάτραι σε
ἐγνωκότες τύραννοι
καταδικάζουσι

tit.: e theotokiis Νικολάου apparet
heirm. α' EE 11, n. 15, Andreae

θανάτου ψήφῳ χαλεπῇ,
μάρτυς Δημήτριε.

15 Ἐν μέσῳ ἀνέκραζες
τῶν παρανόμων,
ὦ μάρτυς Δημήτριε,
τοῖς ἀνόμοις ἄρχουσιν·
« οὐδεὶς χωρίσει με
20 τῆς τοῦ κυρίου μου στοργῆς·
μάτην πλανᾶσθε, ἐχθροί ».

Ὁ λόγος σου ἅλατι
διηρτυμένος,
ὁ τρόπος φιλόθεος
25 τῆς διδασκαλίας σου
καὶ ἡ ἀέναος
τῶν σῶν θαυμάτων δωρεὰ
πᾶσιν ἐγκέχυται.

θεοτ. Νεκρόν με εἰργάσατο
30 ἡ ἁμαρτία
f. 125 καὶ ‖ φυτοῦ ἀπόγευσις
παραδείσου ἔξωσεν,
ἀλλ' ἡ πανύμνητος
ἀθανασίας τὸ φυτόν,
35 Χριστόν, ἐβλάστησεν.

ᾠδὴ γ'. *Στερεωθήτω ἡ καρδία μου*

Στερεωθεῖσα ἡ καρδία μου
ἐν τῇ πέτρᾳ τῆς πίστεως, ἅγιε,
οὐ παρετράπη ταῖς πνοαῖς
τῶν βιαίων πνευμάτων τε,
40 οὐ τοῖς κύμασι τῆς πλάνης
καλυφθεῖσα ἐδείκνυτο.

31 φυτῷ 32 ἐξέωσεν in cd.
heirm. γ' EE 12, n. 16, Andreae

19-20 Rom. 8,35 29-32 Gen. 3,6. 23 36-41 cf. Matth. 7,24-25; Luc. 6,48

Μέγαν πρόμαχον Θεσσαλονίκη σε,
ἀθλοφόρε μάρτυς Δημήτριε,
τρέποντα τὰς παρατάξεις
45 τῶν πολεμίων ἔσχηκεν
καὶ βαρβάρων τὰς ὁρμὰς
καὶ τοῦ πυρὸς ἀναστέλλοντα.

Εἰς ἅπασαν τὴν γῆν διέδραμε
f. 125v ‖ τῶν θαυμάτων ἡ χάρις σου, ἅγιε·
50 καὶ γὰρ δαιμόνων τὴν ἰσχὺν
ἀπελαύνει ἑκάστοτε,
παρειμένους ἀνορθοῖ,
λεπροὺς καθαίρει, πανθαύμαστε.

θεοτ. Ἰδοὺ αἱ πᾶσαι, ὡς προέφησας,
55 γενεαί σε, ἁγνή, μακαρίζουσιν
ὅτι τὸν κτίστην καὶ θεὸν
σαρκωθέντα ἐκύησας
διαμείνασα παρθένος
ὡς πρὸ τόκου πανάμωμος.

ᾠδὴ δ'. *Ἐν πνεύματι προβλέπων*

60 Γνησίᾳ διαθέσει
ἐπόθησας θεὸν
καὶ αὐτοῦ πειθόμενος
τοῖς νόμοις, ἀθλητά,
οὐ παρετράπης
65 ἀνόμων ταῖς πανουργίαις,
οὐδὲ θανάτου
f. 126 ‖ ἀπειλὴν σὺ ἐπτοήθης·
ὅθεν μέχρι τέλους ἐνήθλησας.

---

heirm. δ' ΕΕ 11, n. 15, Andreae

44-47 cf. *AA. SS* Oct. IV (1861) 143-146 contra Avaros; 162-165, 166-171, contra Sclavos; 137-141 contra incendia 50-51 cf. *AA. SS* id. 119-120

52-53 Math. 10,8 54-55 Luc. 1,48

Ἱκέτης σοι προσέδραμεν
70 ὁ Νέστωρ, ἀθλητά,
μέλλων παρατάξασθαι
Λυαίῳ τῷ δεινῷ
καὶ ταῖς εὐχαῖς σου
τὸ θράσος τούτου καθεῖλε
75 καὶ τὸ βραβεῖον
τῆς ἀθλήσεως νομίμως
παρὰ τοῦ ἀθλοθέτου ἀπείληφεν.

Συντήρει ἐκ κινδύνων
σοὺς πρόσφυγας ἀεὶ
80 καὶ ἐκ νόσων λύτρωσαι
καὶ βλάβης τῶν ἐχθρῶν
τῶν ὁρωμένων
καὶ ἀοράτων εὐχαῖς σου,
ὡς παρρησίαν
85 πρὸς Χριστὸν οὖν κεκτημένος,
μάρτυς ἀθλοφόρε Δημήτριε.

Ταῖς λόγχαις τετρωμένον σου
τὸ σῶμα, ἀθλητά,
Χριστοῦ ἐξεικόνισε
90 τὸ πάθος τὸ σεπτὸν
καὶ ταῖς ῥοαῖς σου
τοῦ αἵματος πορφυρίδα
προσεπιχρώσας
ἐστολίσω λαμπροτάτην,
95 ἣν ἐνδεδυμένος ἐγγύζεις θεῷ.

f. 126v θεοτ. ‖ Καὶ γλώσσῃ καὶ καρδίᾳ σε,
θεόνυμφε, ὑμνῶ
θεοτόκον ἄχραντον
κυρίως τε σεπτῶς·
100 καὶ γὰρ σωτῆρα
καὶ κύριον καὶ δεσπότην
τὸν θεὸν λόγον
ἀφράστως σωματωθέντα
ἔτεκες ἡμῖν, ἀειπάρθενε.

69-77 cf. can. XXXIV in S. Nestorem-Gesta Nestoris in dispari certamine contra illum Lyaeum in ipso synaxario fuse narrantur: 163. ll. 10-25.

ᾠδὴ ε΄. *Τὸ φαεινὸν ἡμῖν ἐξανάτειλον*

105 Οἱ καταφεύγοντες τῷ τεμένει σου,
νόσοις τρυχόμενοι
καὶ συμφοραῖς
καὶ περιστάσεσι
σαῖς ἱκεσίαις
110 θᾶττον ἐκλυτρούμενοι,
σὲ ὕμνοις δοξάζουσιν.

Νενεκρωμένον πλημμελήμασι,
μάκαρ Δημήτριε,
ζωοπαρόχῳ
115 ἱκεσίᾳ σου
ἐξαναστήσας,
ἔγειρον ἐκ τάφου με
δεινῆς ἀπογνώσεως.

f. 127 || Εὗρες καμάτων σου τὴν ἀντίδοσιν,
120 μάρτυς Δημήτριε,
καὶ τῶν σῶν πόνων
τὴν ἀπόλαυσιν
τοῦ παραδείσου,
πάντοτε δεόμενος
125 ὑπὲρ τῶν τιμώντων σε.

Ὑμνεῖς τὸν κύριον, πανаοίδιμε,
ῥείθροις αἱμάτων σου
φοινισσόμενος,
μάρτυς πανθαύμαστε,
130 καὶ ἀνακράζων·
« δέσποτα, εἰς χεῖράς σου
τὸ πνεῦμά μου τίθημι ».

θεοτ. Ὃν ἐσωμάτωσας ἐκ λαγόνων σου,
ἄχραντε δέσποινα,

heirm. ε΄ EE 13, n. 16, Andreae 111 σὲ ὕμνοις] σεμνοῖς 133 Ὃν] ὁ

131-132 Luc. 23,46

135 καὶ ἐκ μαζῶν σου
γάλα ἐπότισας,
ἱλεουμένη
τοῦτον τοῖς οἰκέταις σου
μὴ παύσῃ, δεόμεθα.

ᾠδὴ ϛ΄. *Τὸν προφήτην Ἰωνᾶν*

140 Ῥητορεύων, ἀθλητά,
f. 127ᵛ πρὸ βημάτων || τῶν ἐχθρῶν,
ὡμολόγεις τὸν Χριστόν,
προαιώνιον θεόν,
γενόμενον
145 δι' εὐσπλαγχνίαν
προσφάτως ἄνθρωπον.

Ἔνδον ἔχων ἐν ψυχῇ
πῦρ τὸ ἄϋλον, σοφέ,
πρὸς τὸ πῦρ τῶν πειρασμῶν
150 ηὐτομόλησας στερρῶς
καὶ ἔκραζες·
« οὐδὲν ἰσχύσει
Χριστοῦ χωρίσαι με ».

Σῶν αἱμάτων ὀχετοῖς
155 καθηγίασας τὴν γῆν
καὶ λειψάνων σου ἀφῇ
πᾶσα νόσος χαλεπὴ
διώκεται
καὶ δραπετεύεται
160 δαιμόνων φάλαγξ ἀεί.

θεοτ. Λαὸς ἅπας τῶν πιστῶν
σὲ προστάτιν ἀσφαλῆ
καὶ μεσῖτιν πρὸς θεὸν
κεκτημένος ἐκβοᾷ,
165 πανύμνητε·
« παντὸς κινδύνου
σῶζε τοὺς δούλους σου ».

heirm. ϛ΄ EE 12, n. 15, Andreae

152-153 cf. Rom. 8,35

Κάθισμα.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Ἡ μνήμη σου, ἔνδοξε,
μάρτυς Δημήτριε,
. . . .

f. 128 ᾠδὴ ζ'. *Τοὺς ἐν καμίνῳ παῖδάς σου, σωτήρ,*

Ἄθλων τῶν σῶν ταῖς θείαις καλλοναῖς
στολίζεται,
170 μάκαρ, ἐκκλησία τοῦ θεοῦ
καὶ ταῖς πνοαῖς
τῶν παραδόξων σου θαυμάτων
λαμπρῶς ὡραΐζεται,
ταῖς διανοίαις ἡμῶν
175 εὐωδιάζουσα.

Θεσσαλονίκη μέγα ἐπὶ σοὶ
νῦν γέγηθε
ἐναβρυνομένη εὐσεβῶς,
Δημήτριε,
180 ὡς πολιοῦχον καὶ προστάτην
σεπτὸν κεκτημένη σε
ῥυόμενόν τε αὐτὴν
ἐκ βλάβης πάντων ἐχθρῶν.

f. 128v || Λαὸν συναθροισθέντα τῷ σῷ,
185 ἀοίδιμε,
οἴκῳ εὐφημῆσαί σε νῦν
ἐν τῇ φαιδρᾷ
καὶ φωτοφόρῳ σου μνήμῃ,

κάθ. ed. MR I,523
heirm. ζ' EE 12, n. 15, Andreae 1 heirm. Τῶν παίδων EE 178 ἐνάμ-βρυνομενη

οἴκους καὶ σκηνὰς αὐτοῖς
190 τὰς οὐρανίους ἐκεῖ,
μάκαρ, εὐτρέπιζε.

Ἡ γῆ πανηγυρίζει μυστικῶς,
ἀγάλλονται
καὶ οἱ ἐπουράνιοι χοροὶ
195 μνήμην τὴν σὴν
εὐσεβοφρόνως ἀνυμνοῦντες
καὶ Χριστὸν δοξάζοντες
τὸν στεφανώσαντα
σοῦ τὴν σεπτὴν κορυφήν.

θεοτ. 200 Ἀνατολὴ τῆς δόξης τοῦ θεοῦ
γεγένησαι,
λάμψον μετανοίας μοι τὸ φῶς
τῷ ἐν νυκτὶ
τῆς ἁμαρτίας καθημένῳ
205 καὶ πρὸς τρίβον ὤθει με
τῆς σωτηρίας ⟨ἁγνή,⟩
⟨ἵνα⟩ δοξάζω σε.

ᾠδὴ η'. *Τὸν ἐν Σινᾶ τὴν βάτον*

f. 129 || Σωτῆρά σε καὶ πρέσβυν
πρὸς Χριστὸν κεκτήμεθα·
210 μάρτυς πανθαύμαστε,
μὴ ἐλλίπῃς τοῦ πρεσβεύειν ῥυσθῆναι ἡμᾶς
δαιμόνων πονηρῶν
καὶ βλάβης ἐναντίων ἐχθρῶν,
ἵνα σε ὑμνοῦμεν
215 εἰς πάντας τοὺς αἰῶνας.

Αἷμα μαρτύρων βρύει
ἰαμάτων πέλαγος
τοῖς προσιοῦσι πιστῶς

---

191 εὐτρεπίζει 206 ἁγνή, ipse scripsi ut versum complerem
207 ἵνα deest in ed.
heirm. η' EE 13, n. 16, Andreae

καὶ λειψάνων ἡ κόνις ἀπελαύνει δαιμόνων
220 πᾶσαν προσβολὴν
δυνάμει τοῦ ἐν πᾶσιν αὐτοῖς
ἀεὶ συνεργοῦντος,
Χριστοῦ τοῦ φιλανθρώπου.

Σκέπε τὴν σὲ τιμῶσαν
225 πόλιν, ἀξιάγαστε,
τῶν συμβαινόντων δεινῶν,
πυρός, μαχαίρας σεισμοῦ τε καὶ λοιμοῦ
καὶ πάσης ἄλλης προσβολῆς
ἐχθρῶν ἐπερχομένων αὐτῇ,
230 ἀπράκτους τὰς τούτων
βουλὰς ἀποδεικνύων.

Μυρίζει σου ἡ λάρναξ
μύρον εὐωδέστατον
καθαγιάζον ἡμᾶς
f. 129ᵛ 235 ‖ ψυχῶν καὶ σωμάτων καὶ πᾶσαν μαλακίαν
καὶ νόσον διώκει τῶν πιστῶν
ἀεὶ προσερχομένων αὐτῇ
καὶ σὲ ἀνυμνούντων
εἰς πάντας τοὺς αἰῶνας.

τριαδ. 240 Ὅσοι τριάδα σέβειν
πιστῶς μεμαθήκαμεν
τὴν τρισυπόστατον,
πατέρα, λόγον, πνεῦμα ἅγιον σύνθρονον,
ὑμνήσωμεν αὐτήν·
245 μονὰς γὰρ ἐν τριάδι ἐστὶν
ἄναρχος τῇ φύσει
καὶ ἄκτιστος οὐσίᾳ.

ᾠδὴ θ΄. *Τὴν φωτοφόρον νεφέλην*

Ἄμωμον θῦμα καθάπερ
καὶ ἱερεῖον προσήχθης

---

heirm. θ΄ EE 14, n. 17, Andreae

250 σφαγιασθεὶς ὑπὲρ Χριστοῦ,
τοῦ ποιμένος τοῦ καλοῦ,
τοῦ διὰ σπλάγχνα οἰκτιρμῶν
f. 130 σταυρόν τε καὶ ‖ μάστιγας
καὶ θάνατον
255 ὑπομείναντος, μάρτυς,
ἵνα πάντας
ἐξαρπάσῃ τῶν παθῶν.

Καμάτων σου καὶ τῶν πόνων
ἀνταμοιβὴν ἐκομίσω
260 παρὰ τοῦ πάντων ποιητοῦ
οὐρανῶν βασιλείαν,
ἐν ᾗ μνημόνευε ἀεὶ
τοὺς ἐπιτελοῦντάς σου
τὴν ἔνδοξον
265 ἑορτὴν τοῦ γενέσθαι
συμμετόχους
τῶν ἐκεῖσε ἀγαθῶν.

Αἶνον προσῆξα ὁ τάλας
ἐκ ῥυπαρῶν μου χειλέων,
270 θεόφρον μάρτυς τοῦ Χριστοῦ,
εὐφημῆσαί σου ἆθλα
καὶ τὰ παλαίσματα πιστῶς,
ὃν πρόσδεξαι, ἅγιε,
καὶ αἴτησαι
275 τῶν πταισμάτων λαβεῖν με
τὴν ἄφεσιν
καὶ δεινῶν ἀπαλλαγήν.

Ῥυσθείημεν τῶν πταισμάτων
καὶ πειρασμῶν καὶ κινδύνων
280 οἱ σὲ προστάτην πρὸς θεὸν
κραταιὸν κεκτημένοι,
f. 130ᵛ ‖ Δημήτριε μάρτυς τοῦ Χριστοῦ,
καὶ νῦν δυσωποῦμέν σε
τὰ τρόπαια
285 βασιλεῦσι δοθῆναι

---

251 Joh. 10,11-14 252 cf. Col. 3,12 252-255 Hb. 12,2

σαῖς πρεσβείαις
καὶ ἡμῖν τὸν ἱλασμόν.

θεοτ. Ὑμνοῦμέν σε τὸν δι' οἶκτον
ἐλέους ἐκ τῆς παρθένου
290 σάρκα φορέσαντα, Χριστέ,
καὶ τεχθέντα ἀφράστως
καὶ μετὰ τόκον τὴν νηδὺν
παρθένον φυλάξαντα
τὴν ἄχραντον
295 τῆς ἀφθόρου μητρός σου,
ἥν σοι πάντες
πρέσβυν φέρομεν βροτοί.

IN SANCTUM DEMETRIUM

Crypt. Δ.α. XIII = Cc, ff. 68-71
Sinait. gr. 562 = Σφ, ff. 130ᵛ-131ᵛ
Sinait. gr. 563 = Σχ, ff. 46-47ᵛ

Κανὼν τοῦ ἁγίου Δημητρίου φέρων ἀκροστιχίδα·
Δημητρίου με τὸ σθένος φυλαττέτω.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

Δοξάσας τοῖς τῆς σαρκός σου μέλεσι
τὸν ποιητὴν καὶ θεόν,
δεδοξασμένην εὗρες ἀμοιβὴν
παρ' αὐτοῦ, πανσεβάσμιε,
5 ὅνπερ καὶ νῦν δυσώπησον
σῶσαι τοὺς πίστει ἀνυμνοῦντάς σε.

Ἡ χάρις τοῦ παναγίου πνεύματος,
ἐν σοὶ σκηνώσασα,
σημειοφόρον ἔδειξεν ἡμῖν
10 καὶ θερμὸν ἀντιλήπτορα
διὰ παντὸς ῥυόμενον
τοὺς σοὶ προθύμως προσανέχοντας.

---

tit. post acr. Θεοφάνους in margine notatur in Cc Σφ heirm. α' EE 94, n. 133, Joannis 5 αὐτὸν δυσώπησον Σφ 6 ὑπὲρ τῶν πίστει εὐφημούντων σε Σφ 11 ῥυόμενος Σφ

Μετὰ τῆς ἄνω χοροστασίας, ἔνδοξε,
νῦν παριστάμενος,
15 μαρτυρικαῖς ἐμπρέπων καλλοναῖς,
τῷ τῶν ὅλων δεσπόζοντι
ὑπὲρ ἡμῶν δυσώπησον
λύσιν πταισμάτων ἐξαιτούμενος.

θεοτ. Ἡ μόνη προορισθεῖσα σκήνωμα
20 τοῦ παντοκράτορος
καὶ δι' ἡμᾶς φανέντα καθ' ἡμᾶς
ὑπὲρ λόγον κυήσασα,
τοῦτον ἡμῖν εὐήλατον
σαῖς ἱκεσίαις παρασκεύασον.

ᾠδὴ γ'. *Εὐφραίνεται ἐπὶ σοὶ*

25 Τὴν χάριν καταπλουτῶν
τὴν τῶν θαυμάτων πρὸς θεοῦ, λύτρωσαι,
μάρτυς Χριστοῦ Δημήτριε,
τοὺς πανευλαβῶς σοι προστρέχοντας.

Ῥαδίως τὰ ὑπὲρ νοῦν
30 ἐπιτελεῖν ἀξιωθεὶς θαύματα,
μάρτυς Χριστοῦ, περίσωζε
πάσης τρικυμίας τὴν ποίμνην σου.

f. 68v || Ἰάσεών σε πηγὴν
ἡ ἱερὰ καὶ θαυμαστὴ πόλις σου
35 καὶ θησαυρὸν ἔμψυχον
πάσης εὐφροσύνης πεπλούτηκεν.

θεοτ. Ὁ πάντων δημιουργὸς
δημιουργεῖται δι' ἡμᾶς, πάναγνε,

---

13 χορείας Σφ Σχ 26 θεὸν Σχ
heirm. γ' EE 94, n. 133, Joannis

19-20 Ps. 132,(131) 5-7

σάρκα λαβὼν ἔμψυχον
40 ἐκ τῶν παναχράντων αἱμάτων σου.

Κάθισμα.

Ἦχος β'. *Τὴν ἄχραντον ἐκκλησίαν*

Ὡς μάρτυρα παγκόσμιον
εὐφημοῦμέν σε, ἅγιε,
τοῖς ἄθλοις τῶν ἀγώνων σου
εὐφραινόμενοι πιστῶς·
5 τῶν ἐχθρῶν γὰρ τὰς μάστιγας
ὑπομείνας καρτερῶς,
τὸν στέφανον τῆς χάριτος
ἀνεδύσω ἐκ θεοῦ·
ὅθεν εὐχαρίστως βοῶμέν σοι·
10 « ταῖς ἱκεσίαις σου
περίσωζε τοὺς δούλους σου
ἐκ περιστάσεως
τοὺς τιμῶντας τὴν μνήμην σου ».

Ἄλλο.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Ἡ μνήμη σου, ἔνδοξε,
....

f. 69 ᾠδὴ δ'. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία*

Ὑπὸ τῆς σῆς φυλαττόμενοι προστασίας
νῦν ἐκτενῶς δεόμεθα

καθ. om. Σφ Σχ
καθ. aliud ed. MR I, 523 et om. Σφ Σχ
heirm. δ' EE 94, n. 133, Joannis

τῇ σῇ εὐσπλαγχνίᾳ
ῥῦσαι κινδυνεύοντας
45 καὶ σῶσον πρεσβείαις σου
τοὺς προσκαλουμένους σε, ἔνδοξε.

Μετὰ μαρτύρων ὡς μάρτυς τῷ εὐεργέτῃ
παρεστηκώς, ἱκέτευε
πάσης ἐπηρείας
50 ῥύσασθαι τοὺς πίστει σοι
καὶ πόθῳ προστρέχοντας,
μάκαρ ἀθλοφόρε Δημήτριε.

Εἰς οὐρανίους θαλάμους κατασκηνώσας,
τοῖς ἐπὶ γῆς ποθοῦσί σε
55 καὶ σοῦ δεομένοις
ῥύστης ἑτοιμότατος
καὶ φύλαξ παρίστασο,
μάρτυς ἀθλοφόρε Δημήτριε.

θεοτ. Τῆς πανυμνήτου καὶ θείας οἰκονομίας
60 νέα σκηνὴ καὶ τέμενος
πανίερον ὤφθης·
λόγον γὰρ ἐχώρησας
τὸν πᾶσιν ἀχώρητον
φύσει καὶ οὐσίᾳ θεότητος.

f. 69v ᾠδὴ ε'. *Σύ, κύριέ μου, φῶς*

65 Οἱ πίστει πρὸς τὸ σὸν
ἐπειγόμενοι τέμενος,
Δημήτριε, νοσημάτων
καὶ παθῶν ψυχοφθόρων
συντόμως ἀπαλλάσσονται.

70 Σὺ οἷά περ πατὴρ
ἐλεήμων, φιλόστοργος

---

heirm. ε' EE 94, n. 133, Joannis 65-69 om. Cc

---

60 Sap. 9,8

τὴν πόλιν σου περισώζεις
χαλεπῶν ἐκ κινδύνων
καὶ νόσων, ἀξιάγαστε.

75 Θὴρ οἷά περ δεινὸς
ὁ λοιμὸς κατεβόσκετο
τὴν πόλιν σου, τῇ δὲ θείᾳ
προστασίᾳ σου, μάκαρ,
καὶ σκέπῃ φυγαδεύεται.

θεοτ. 80 Ἐν πάσαις γενεαῖς
ἀληθῶς μεμακάρισαι
γεννήσασα, θεομῆτορ,
τὸν μακάριον λόγον
τὸν ὄντως πανακήρατον.

ᾠδὴ ς'. *Θύσω σοι*

85 Νομίμως
ὡς Χριστοῦ στρατιώτης ἠγώνισαι
καὶ τῷ τῆς νίκης στεφάνῳ
ἐκοσμήθης· ὅθεν καὶ περιέπεις
καὶ φυλάττεις
90 τοὺς πρὸς σὲ καταφεύγοντας, ἔνδοξε.

Ὁ πόθος
τοῦ δεσπότου σε, μάκαρ, κατέθελξεν,
οὗ τιτρωσκόμενος λόγχῃ
μιμητὴς ἐγένου· ὅθεν καὶ τεῖχος
95 σὲ καὶ πύργον
ἀσφαλῆ τοῖς πιστοῖς ἐδωρήσατο.

θεοτ. Σὲ μόνην
τῶν ἀκανθῶν ἐν μέσῳ εὑράμενος,

---

79 πεφυγάδευται Σφ Σχ
heirm. ς' EE 94, n. 133, Joannis

97-98 Cant. 2,2

ὡς καθαρώτατον κρίνον
100 καὶ κοιλάδων ἄνθος, ὦ θεομῆτορ,
ὁ νυμφίος
ὁ νοητὸς ἐκ σοῦ ἡμῖν προελήλυθεν.

f. 70 ‖ Κοντάκιον.

Ἦχος β'. *Τοῖς τῶν αἱμάτων σου ῥείθροις, Δημήτριε,*

....

Ὁ οἶκος. *Τράνωσόν μου (τὴν γλῶτταν, Σωτήρ μου)*

Σὺ εἶ τὸ φῶς τῶν ἐσκοτισμένων

....

Ἄλλο.

Ἦχος δ'. *Ἐπεφάνης σήμερον*

Δημητρίου σήμερον

....

f. 70v ᾠδὴ ζ'. *Ἐν τῇ καμίνῳ*

Φθορὰν θανάτου
καὶ πολεμίων ὥσπερ ἔφοδον
105 πάλαι καὶ τὰ νῦν ἀπέλασον ἀφ' ἡμῶν
τῶν ἐν πίστει προστρεχόντων σοι
καὶ πρεσβευτὴν θεῷ
δυνατώτατον, μάρτυς, προσαγόντων σε.

κοντάκ. om. Σφ Σχ κοντάκ. ed. MR I, 531 οἶκ. ed. PAS I, 651
κοντάκ. alterum ed. Viz. Vrem. 10, 473, om. Σφ Σχ
heirm. ζ' EE 94, n. 133, Joannis

99-100 Cant. 2,1

Ὑπὸ τὴν σκέπην
110 τὴν ἱεράν σου καταφεύγοντας
ῥῦσαι σαῖς πρεσβείαις, μάκαρ, ἐκ πειρασμῶν
καὶ κινδύνων καὶ κακώσεων
καὶ ψυχικῶν παθῶν
τὴν ἀχλὺν καὶ τὸν ζόφον ἀπέλασον.

θεοτ. 115 Λελυτρωμένοι
τῇ σῇ γεννήσει σοὶ κραυγάζομεν·
« χαῖρε· διὰ σοῦ γὰρ Εὔας τῆς πρὶν ἀρᾶς
προφανῶς ἠλευθερώθημεν,
εὐλογημένη σὺ
120 ἐν γυναιξί, πανάμωμε δέσποινα ».

ᾠδὴ η'. *Χεῖρας ἐκπετάσας Δανιήλ*

Ἀπόρθητον, ἔνδοξε, φρουρὰν
καὶ πύργον ἄσειστον
καὶ τεῖχος ἄρρηκτον
καὶ ὅπλον ἄτρωτον ἔχοντες
f. 71 θεοτ. 125 ‖ σέ, μαρτύρων ἐγκαλλώπισμα,
τὴν σὴν βοήθειαν καὶ νῦν
αἰτοῦντες ψάλλομεν·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

130 Τὴν ὄντως θεόδοτον ἰσχὺν
ὡς ἔχων, ἄριστε
μάρτυς Δημήτριε,
τὴν θεοφρούρητον πόλιν σου
ἐκ κινδύνων διαφύλαξον
135 καὶ πειρασμῶν πολυειδῶν
πίστει κραυγάζουσαν·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

---

114 διάλυσον Σχ
heirm. η' EE 94, n. 133, Joannis 131 ἄριστα Σφ 136 σοὶ κράζουσαν Σφ

117-120 cf. hymnum acathistum TR 506; Luc. 1,28-42.

θεοτ. Τὴν μόνην ἐν πάσαις γενεαῖς
140 φανεῖσαν ἄχραντον
θεογεννήτριαν,
τὴν μετὰ γέννησιν μείνασαν
ἀδιάφθορον παρθένον ἁγνήν,
μεγαλοφώνως οἱ πιστοὶ
145 τιμῶντες ψάλλομεν·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

ᾠδὴ θ'. *Λίθος ἀχειρότμητος ὄρους*

Ἔχων πρὸς θεὸν παρρησίαν,
μαρτυρικῶς οἰκειωθεῖσαν,
150 δι' ὃν τὸ σὸν αἷμα προθύμως,
στεφανηφόρε μάρτυς, ἐξέχεας,
ὑπὲρ ἡμῶν δεήθητι
καὶ σωτηρίαν ἡμῖν αἴτησαι.

Τὴν τῶν οὐρανῶν βασιλείαν
155 παραλαβὼν ὡς ἀθλοφόρος,
ταύτης τοὺς ὑμνοῦντάς σε, μάκαρ,
τυχεῖν δυσώπει τὸν ταύτην πάροχον
καὶ ζωοδότην κύριον
καὶ βασιλέα τῶν δυνάμεων.

θεοτ. 160 * Ὤφθης θεονύμφευτος κόρη
καὶ πανακήρατος παρθένος·
σὺ γὰρ παρθενίαν καὶ τόκον
εἰς ἓν συνῆψας, ἄχραντε δέσποινα,
τὸν ποιητὴν γεννήσασα
165 καὶ κυβερνήτην πάσης κτίσεως.

146-147 εὐλογοῦμεν / σέ, θεοτόκε παρθένε πανάμωμε Σφ
heirm. θ' EE 94, n. 133, Joannis 160-165 θεοτ. ed. MR I, 347
164-165 τὸν ποιητὴν καὶ κύριον / πάσης τῆς κτίσεως γεννήσασα MR

IN SANCTUM NESTOREM

Synaxarium, 167-168: Ἄθλησις τοῦ ἁγίου μάρτυρος Νέστορος. Οὗτος κομιδῇ νέος ὢν καὶ ὡραῖος, ἄρτι τὸν ἴουλον ἐπανθοῦντα φέρων καὶ γνωστὸς ὑπάρχων τῷ πανενδόξῳ μάρτυρι Δημητρίῳ διὰ τὰ ὑπ' αὐτοῦ γινόμενα θαύματα, δραμὼν ἐν ᾧ ἐφυλάττετο τόπῳ καὶ πεσὼν πρὸς τοὺς πόδας αὐτοῦ ἔφη· « Δοῦλε τοῦ θεοῦ Δημήτριε, βούλομαι τῷ Λυαίῳ μονομαχῆσαι· ἀλλ' εὖξαι ὑπὲρ ἐμοῦ τὸν Χριστὸν ὀνομάσας ». Ὁ δὲ ἅγιος, ποιήσας τὴν τοῦ Χριστοῦ σφραγίδα εἰς αὐτόν, εἶπε· « Καὶ τὸν Λυαῖον νικήσεις καὶ ὑπὲρ Χριστοῦ μαρτυρήσεις ». Εἰσελθὼν οὖν ἐν τῷ μαγγάνῳ ἐν ᾧ ἐμονομάχουν, θεωροῦντος Μαξιμιανοῦ, καὶ εἰπών· « Ὁ θεὸς Δημητρίου βοήθει μοι », εἶτα συμπλακεὶς τῷ παλαμναίῳ ἐκείνῳ Λυαίῳ καὶ καιρίαν αὐτὸν βαλὼν κατὰ τῆς καρδίας, ἀνήρηκε καὶ τῷ βασιλεῖ ψυχικὴν περιεποιήσατο σύγχυσιν. Καὶ αὐτίκα κελεύσει τοῦ τυράννου τὴν κεφαλὴν ἀπετμήθη, ἅμα δὲ τῷ αἰσθητῷ καὶ τὸν νοητὸν πολέμιον κατειργάσατο.

Paris. gr. 1580 = U, ff. 152^{v}-154^{v}

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Τιμῶ σε πιστῶς, μάρτυς ἠγλαϊσμένε· Ἰωσήφ.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἀνοίξω τὸ στόμα μου*

Τὴν θείαν εὐπρέπειαν
περιφανῶς στολισάμενος,
τὰ ἄνω βασίλεια
οἰκεῖν ἠξίωσαι
5 σὺν τοῖς μάρτυσιν
ὡς μάρτυς στεφηφόρος·
διὸ ταῖς πρεσβείαις σου
ἡμᾶς περίσωζε.

Ἰδεῖν ἐφιέμενος
10 τὸν ἀθλοθέτην καὶ ἄνθρωπον,

Acr. Dubium est an illi Hymnographo vel Thessalonicensi canon tribuendus sit
heirm. α' EE 99, n. 141, Joannis

θανάτου ποτήριον,
Νέστορ, ἐξέπιες
καὶ ἀνέδραμες
πρὸς τοῦτον στεφηφόρος·
15 διὸ συνελθόντες σε
πίστει γεραίρομεν.

Μαρτύρων ἐν αἵματι
τελειωθείς, ἱερώτατε,
τῷ ὄντι γεγένησαι
20 σὺ περιδέξιος,
ἀλλὰ πρέσβευε
πιστῶς τοὺς σὲ τιμῶντας
κινδύνων καὶ θλίψεων
σώζεσθαι πάντοτε.

θεοτ. 25 Ὡς θρόνος πυρίμορφος
τὸν βασιλέα ἐβάστασας
ἐκ σοῦ σωματούμενον,
θεοχαρίτωτε,
ὃν ἱκέτευε
30 τῆς ἄνω βασιλείας
μετόχους ἐργάσασθαι
τοὺς ἀνυμνοῦντάς σε.

ᾠδὴ γʹ. *Τοὺς σοὺς ὑμνολόγους, θεοτόκε,*

f. 153 ‖ Σταυροῦ τῇ δυνάμει παρετάξω
πρὸς τὰς τοῦ Λυαίου μηχανὰς
35 καὶ τοῦτον ἐθανάτωσας
καὶ μάρτυς ἐχρηματίσας
τοῦ σταυρωθέντος ἄριστος,
Νέστορ, μαρτύρων καλλώπισμα.

Εὐχαῖς Δημητρίου, γενναιόφρον,
40 Λυαῖον διέλυσας ὡς χοῦν
καὶ τὸν Χριστὸν ἐνώπιον

---

12 Νέστορε cd. contra metrum et grammaticam: cf. vv 38.49, 61 καθ. 6, et alibi
heirm. γʹ EE 100, n. 141, Joannis

---

25 Dan. 7,9

τυράννων ὡμολόγησας
καὶ ὥσπερ θῦμα ἄμωμον
αὐτῷ ἀθλήσας προσήνεξαι.

45 Προτείχισμα ἔχει σε ἡ πόλις
ἡ σὴ σεβομένη σε ἀεί,
ἣν σῶζε ταῖς πρεσβείαις σου
ἐκ πάσης περιστάσεως,
Νέστορ, μαρτύρων καύχημα,
50 τὴν σὴν τελοῦσαν πανήγυριν.

θεοτ. Ἰσχύς μου καὶ ὕμνησις, παρθένε,
ὑπάρχεις καὶ σκέπη κραταιά,
ἐχθρῶν ἐπιζητούντων με
κακοποιῆσαι λύτρωσαι
55 καὶ τὴν ψυχήν μου φώτισον
ἐσκοτισμένην τοῖς πάθεσιν.

Κάθισμα.

Ἦχος δʹ. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

Οὐ κατεπλάγης τῶν ἐχθρῶν τὴν μανίαν,
οὐκ ἐδειλίασας σαρκὸς ἀλγηδόνας,
ἀλλ' ἀπτοήτως ἔδραμες πρὸς πάλην, σοφέ,
φέρων τὸ ἀκατάπληκτον τοῦ σταυροῦ θεῖον ὅπλον·
5 ὅθεν τὸν ἀλάστορα παραυτὰ θανατώσας,
ἐθανατώθης, Νέστορ, καὶ ζωῆς
κατηξιώθης Χριστῷ παριστάμενος.

ᾠδὴ δʹ. *Τὴν ἀνεξιχνίαστον θείαν βουλὴν*

Στήσας τῆς καρδίας σου πόδας, σοφέ,
θείαν ἐπὶ πέτραν τῆς πίστεως,
οὐ παρετράπης δολεραῖς προσλαλιαῖς,
60 ἀλλ' ἀνδρικῶς ἐχώρησας,
Νέστορ, πρὸς τὸν βίαιον θάνατον.

---

heirm. δʹ EE 100, n. 141, Joannis

Ταῖς εὐχαῖς ὠχύρωσαι περιφανῶς,
Νέστορ, Δημητρίου καὶ ἔδραμες
ἐν τῷ σταδίῳ καταβάλλων τῶν ἐχθρῶν
65 τὰς μηχανὰς ἐν χάριτι
καὶ στεφανηφόρος δεικνύμενος.

Ὦ τῆς καρτερίας σου, μάρτυς Χριστοῦ,
ὢ τῆς εὐτολμίας, ἐνστάσεως
καὶ παρρησίας δι' ἧς εἷλες τὸν ἐχθρὸν
70 καὶ ταῖς ἀγέλαις, ἔνδοξε,
ταῖς τῶν ἀθλοφόρων ἠρίθμησαι!

θεοτ. Στόματι καὶ γλώσσῃ σε ὁμολογῶ
λόγου σαρκωθέντος λοχεύτριαν,
θεογεννῆτορ· ἀθλοφόρων καλλονή,
75 τῆς αἰωνίου ῥῦσαί με
τότε καταδίκης, πανάχραντε.

ᾠδὴ ε'. *Ἐξέστη τὰ σύμπαντα*

Μεγάλως ἠγώνισαι
αἰσχύνας τὸν ἀντίπαλον·
κλίνας γὰρ αὐχένα, ἀθλοφόρε,
f. 153v 80 τέμνοντι ‖ ξίφει τὴν γῆν ἡγίασας
αἵματι τιμίῳ ἀληθῶς
καὶ πρὸς τὰ οὐράνια
στεφηφόρος ἀνέδραμες.

Ἀγάλλεται σήμερον
85 Θεσσαλονίκη μέλπουσα
τὰς ἀνδραγαθίας σου, παμμάκαρ,
τὰς ἀριστείας καὶ τὰ παλαίσματα
καὶ ἐπιτελεῖ σου τὴν σεπτὴν
μνήμην, Νέστορ ἔνδοξε,
90 ἀθλητῶν ἐγκαλλώπισμα.

Ῥωσθεὶς θείᾳ χάριτι,
εἰσέδραμες τὸ στάδιον

---

heirm. ε' EE 100, n. 141, Joannis

καί, τὰς τοῦ Λυαίου τεχνουργίας
ἐξαφανίσας τῇ εὐανδρίᾳ σου,
95 λέλυσαι τοῦ σώματος κρουσθεὶς
καὶ πρὸς τὸν ποθούμενον
στεφηφόρος ἀνέδραμες.

θεοτ. Τὴν μόνην ἀπείρανδρον,
τὴν μόνην ἀειπάρθενον,
100 τῶν ἁμαρτωλῶν τὴν σωτηρίαν,
τῶν ἀθλοφόρων τὸ θεῖον καύχημα
καὶ τὴν καλλονὴν τοῦ Ἰακὼβ
πάντες μακαρίσωμεν
ἱεροῖς μελῳδήμασιν.

ᾠδὴ ς'. *Τὴν θείαν ταύτην καὶ πάντιμον*

105 Ὑμνῶ σου, Νέστορ, τὴν ἄθλησιν,
δοξάζω τὰ γενναῖα παλαίσματα
καὶ περιπτύσσομαι
τὰ ἱερώτατα λείψανα,
ἐξ ὧν κρουνοὶ θαυμάτων
110 ἐπαναβλύζουσιν.

Σορὸς τὸ σὸν ἡ κατέχουσα
μακάριον καὶ ἅγιον λείψανον
πηγὴ ἰάσεων
τοῖς προσπελάζουσι δείκνυται,
115 Χριστοῦ σε, μάρτυς Νέστορ,
ἀεὶ δοξάσαντος.

Ἡ σὴ ὑπέρτιμος ἄθλησις,
θεόφρον, ὑπὸ πάντων δοξάζεται·
δόξα γὰρ γέγονας
120 τῶν ἀθλοφόρων καὶ καύχημα,
μεθ' ὧν ὑπὲρ τοῦ κόσμου,
Νέστορ, ἱκέτευε.

---

heirm. ς' EE 100, n. 141, Joannis

---

102 Ps. 46,5

θεοτ. Γαστρὶ θεὸν τὸν ἀχώρητον
ἐχώρησας βροτοὺς ἀναπλάττοντα,
125 θεοχαρίτωτε,
διὰ πολλὴν ἀγαθότητα·
ὃν ἐκτενῶς δυσώπει
ὑπὲρ τῶν δούλων σου.

Κοντάκιον.

Ἦχος β'. *Τοῖς τῶν αἱμάτων σου ῥείθροις*

* Τὴν πανοπλίαν τοῦ σταυροῦ ὁπλισάμενος
. . . .

f. 154 ‖ ᾠδὴ ζ'. *Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες*

Λαμπρυνόμενος ταῖς θείαις ἀναβάσεσιν
130 ὥσπερ ἀστὴρ φαεινός,
μαρτυρικαῖς καλλοναῖς
σεπταῖς κατηγλάϊσαι,
Νέστορ, κραυγάζων θερμῶς·
« ὑπερύμνητε
135 ὁ τῶν πατέρων κύριος
καὶ θεός, εὐλογητὸς εἶ ».

Ἀποστάζοντος, παμμάκαρ, ἀπὸ στόματος
τὸν νοητὸν γλυκασμὸν
ἐνηδυνθεὶς τὴν ψυχήν,
140 πικρίαν ἐξέφυγες
πολυθεΐας βοῶν·
« ὑπερύμνητε
ὁ τῶν πατέρων κύριος
καὶ θεός, εὐλογητὸς εἶ ».

κοντάκ. ed. TRM III, ση'
heirm. ζ' EE 100, n. 141, Joannis

137-138 cf. Am. 9,13

145 Ἱκετεύων τὸν φιλάνθρωπον, μακάριε,
μὴ διαλίπῃς ἀεὶ
σώζεσθαι πάντας ἡμᾶς
κινδύνων καὶ θλίψεων
καὶ περιστάσεων
150 τοὺς τιμῶντάς σε
καὶ τὴν σεπτήν σου ἄθλησιν
ἱερῶς ἐπιτελοῦντας.

θεοτ. Σαρκοφόρον ἀπεκύησας τὸν ἄσπορον
θεὸν καὶ κύριον,
155 ὃν ἐκδυσώπει, ἁγνή,
παθῶν ἡμᾶς ῥύσασθαι
σαρκὸς βοῶντας αὐτῷ·
« ὑπερύμνητε
ὁ τῶν πατέρων κύριος
160 καὶ θεός, εὐλογητὸς εἶ ».

ᾠδὴ η'. *Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ*

Μαρτύρων χοροῖς κατειλεγμένος,
τὰ ἄνω οἰκεῖς, Νέστορ, βασίλεια·
ἥνπερ ἐπορφύρωσας
χλαῖναν ἐξ αἱμάτων σου
165 ἠμφιεσμένος, ἔνδοξε,
καὶ στέφος νίκης φορῶν
καὶ μετὰ ἀγγέλων μέλπων ἀπαύστως
τὴν φρικωδεστάτην
καὶ θείαν μελῳδίαν.

170 Ἐτύθης ἀμνὸς καθάπερ, Νέστορ,
θυσίας εἰδωλικὰς ἀποκρουσάμενος
καὶ τοῖς τῶν αἱμάτων σου
ῥεύμασι κατήρδευσας
τὴν ἐκκλησίαν, ἔνδοξε,
175 θεῷ κραυγάζων πιστῶς·

---

heirm. η' EE 100, n. 141, Joannis

« τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ν.................................

θεοτ. Ἐν σοὶ παρθένῳ παναγίᾳ
180 ὁ λόγος ἀνερμηνεύτως σεσωμάτωται·
τοῦτον οὖν ἱκέτευε
πόλιν τὴν τιμῶσάν σε
καὶ πᾶσαν πόλιν σώζεσθαι
ἀπὸ λιμοῦ καὶ λοιμοῦ
185 καὶ σεισμοῦ καὶ ἐμφυλίου πολέμου
καὶ ἐπικρατείας
βαρβάρων εἰς αἰῶνας.

ᾠδὴ θ'. *Ἅπας γηγενὴς*

Ἴδες ἐν φρουρᾷ
τὸν θεῖον φρουρούμενον,
190 Νέστορ, Δημήτριον
καὶ ταῖς προσευχαῖς αὐτοῦ
ὡς ὅπλον θεῖον ἐπιφερόμενος,
f. 154v || πρὸς τὸν Λυαῖον ἔδραμες
καὶ τὰς αὐτοῦ μηχανὰς διαλύσας,
195 λέλυσαι τοῦ σώματος
συνδεθεὶς τῷ Χριστῷ τελειότερον.

Ὢ τῆς τολμηρᾶς
ψυχῆς σου, μακάριε,
ὢ τῆς στερρότητος,
200 ὢ τῆς εὐανδρίας σου
καὶ παρρησίας καὶ γενναιότητος!
πῶς βραχυτάτου αἵματος
τὴν βασιλείαν θεοῦ ἀντηλλάξω,
Νέστορ ἀξιάγαστε,
205 ἀθλητῶν καλλονὴ καὶ ἀγλάϊσμα;

---

post v. 178 aliud troparium Ν incipiens acr. postulat heirm. θ' ΕΕ 100, n. 141, Joannis 188 Ἴδες pro εἶδες habeas acrostichidis causa

Σκέπη κραταιά,
τεῖχος καὶ προπύργιον
ἔφυς τῇ πόλει σου,
Νέστορ ἀξιάγαστε,
210 Θεσσαλονίκῃ καὶ θεῖον ἔρεισμα·
διὸ ταῖς ἱκεσίαις σου
ἡμᾶς περίσωζε τρικυμίας
καὶ πάσης κακώσεως,
τῶν μαρτύρων σεπτὸν ἐγκαλλώπισμα.

215 Ἡ πλησιφαὴς
ἐξέλαμψε μνήμη σου
ὑπὲρ τὸν ἥλιον,
πάντων καταυγάζουσα
τὰς διανοίας τῶν εὐφημούντων σε·
220 ἐν ᾗ πανηγυρίζοντας
πλήρωσον πάντας ἡμᾶς θυμηδίας,
Νέστορ ἀξιάγαστε,
δυσωπῶν Ἰησοῦν τὸν φιλάνθρωπον.

θεοτ. Φύσιν χοϊκὴν
225 ἐκ σοῦ ὁ ὑπέρθεος
ἀναλαβόμενος,
ὤφθη οἷς ἠθέλησεν
ὁμοιωθῆναι δι' ἀγαθότητα·
ὃν ἐκτενῶς ἱκέτευε,
230 θεοχαρίτωτε, τὸν λαόν σου
τοῦτον περισώζεσθαι
ἀπὸ πάσης ὀργῆς καὶ στενώσεως.

27 OCT. *CANON* XXXV

IN SANCTAS CAPITOLINAM ET EROTEIDEM

Synaxarium, 168-169: Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων γυναικῶν Καπετωλίνης καὶ Ἐρωτηΐδος τῆς οἰκέτιδος αὐτῆς. Αὗται ὑπῆρχον ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Ζηλικινθίου ἄρχοντος Καππαδοκίας. Καὶ ἡ μὲν Καπετωλίνα εὐγενὴς ὑπάρχουσα καὶ πλουσία πάντα τὰ προσόντα αὐτῇ πτωχοῖς διανείμασα καὶ τοὺς οἰκέτας ἐλευθερίᾳ τιμήσασα, παρρη-σιάζεται πρὸς τὸν ἄρχοντα καὶ τῇ εἱρκτῇ ἐγκλεισθεῖσα ἕωθεν τὴν διὰ ξίφους τιμωρίαν ὑπέστη. Ἡ δὲ Ἐρωτηΐς, ἡ καὶ δούλη τῆς ἁγίας, ἐπεὶ λίθοις τὸν ἄρχοντα ἔβαλε, ῥάβδοις τύπτεται σφοδρῶς, εἶτα βουνεύροις· ἔπειτα εἰς κάμινον πυρὸς ἐναπορρίπτεται. Ὡς δὲ χάριτι Θεοῦ διέμεινεν ἀβλαβής, ξίφει τὴν κεφαλὴν ἐκκόπτεται καὶ οὕτως τὸ πνεῦμα τῷ Θεῷ παρατίθησι....

Crypt. Δ.α. XIII = Cc, ff. 72-76ᵛ

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Σεμναῖς γυναιξὶν σεμνὸν ἐξᾴδω μέλος· Ἰωσήφ.

f. 72ᵛ || Ἦχος β'

ᾠδὴ α'. *Τῷ τὴν ἄβατον*

Συνεχόμενον
ἁμαρτημάτων κλύδωνι
καὶ συνεχῶς ποντούμενον
ταῖς παραβάσεσιν
5 καὶ ἀγνοίας σκοτασμῷ
πάντοθεν κυκλούμενον,
μάρτυρες ἔνδοξοι,
πρὸς σωτηρίας με
λιμένα ὁδηγήσατε.

10 Ἐνεστέψατο
τὸν καθαρὸν νυμφίον σε,

heirm. α' EE 39, n. 53, Cosmae 10 Ἐννηστεύσατο

λόγον θεοῦ φυλάξασα
τὰ σὰ προστάγματα
ἀδιάπτωτα, Χριστέ,
15 ἡ Καπετωλίνα· διὸ
στέφανον ἔτυχε
καὶ τοῦ νυμφῶνός σου
ἀπαύστως ἀνυμνοῦσά σε.

Μωραινόμενον
20 τὸν ἀλαζόνα τύραννον
καὶ προσταγαῖς ἀλόγοις
σὲ καταναγκάζοντα
ἐπιθύειν τοῖς γλυπτοῖς,
ὦ Καπετωλίνα σεμνή,
25 γέλωτα ἔδειξας,
τὴν δεδομένην σοι
σοφίαν διὰ πνεύματος.

Νόμον ἔνθεον
ἐπικρατύνειν σπεύδουσα,
30 νόμον ἀλόγου γέμοντα,
σεμνή, προστάγματος
ἐβδελύξω παντελῶς
καὶ ὑπὲρ τὴν φύσιν πολλὰς
βασάνους ἤνεγκας
35 καὶ τὸν πολέμιον
ἐχθρὸν τελείως ὤλεσας.

θεοτ. Ἀπειρόγαμε
εὐλογημένη δέσποινα,
τῶν γυναικῶν τὸ ὄνειδος
40 μόνη ἠφάνισας·
νεανίδων ὁ χορὸς
ὅθεν ἐναθλήσας στερρῶς
προσαπενήνεκται
χαίρων ὀπίσω σου
45 τῷ βασιλεῖ τῆς κτίσεως.

16 στέφανον, pro στεφάνου metri causa habeas 24 καπετωλῖνα 27 σοφία

f. 73 ‖ ᾠδὴ γ'. *Ἐν πέτρᾳ με τῆς πίστεως στερεώσας*

Ἰλύϊ ἐνσπαρέντας τῆς ἀπωλείας
διήλεγχες τοὺς ἄφρονας, μακαρία·
τὸ σῶμά σου τὸ ἄμωμον ἀνενδότως
ὅθεν ᾐκίζοντο, σὺ δὲ ἐκραύγαζες
50 ὡς «οὐκ ἔστιν ἅγιος ὡς ὁ θεὸς ἡμῶν».

Σταυρὸν τὸν ὑπομείναντα ἑκουσίως
ἐμφρόνως μιμουμένη, Καπετωλίνα,
βασάνους ἀναδέδεξαι τῇ σαρκί σου
καὶ βιαιότατον, ὁσία, θάνατον
55 προξενοῦντα δόξαν σοι ἀτελεύτητον.

Γυμνούμενον τὸ σῶμά σου, μακαρία,
τὴν ἄνωθεν εὐπρέπειαν ἀριδήλως
καὶ κόσμον ὡραιότατον προεξένει
καὶ σωτηρίας σοι, σεμνή, ἱμάτιον
60 καὶ χαρὰν ἀνέκλειπτον καὶ φῶς ἄδυτον.

f. 73v θεοτ. ‖ Ὑπάρχουσα κατάκριτος παραβάσει
ἡ φύσις ἠλεήθη ἡ τῶν ἀνθρώπων,
τῷ θείῳ ὑπὲρ φύσιν τε τοκετῷ σου
καὶ τὸν παράδεισον σαφῶς ἀπέλαβε,
65 θεομῆτορ· ὅθεν σε μακαρίζομεν.

Κάθισμα.

Ἦχος α'. *Τὸν τάφον σου, σωτήρ,*

Ἀμνάδες λογικαὶ
προσηνέχθητε ἅμα
ἀμνῷ ἀληθινῷ
εἰς ὀσμὴν εὐωδίας
5 προθύμως θυόμεναι
καὶ καλῶς τελειούμεναι·

heirm. γ' EE 38, n. 51, Cosmae — 46 ἐνσπαρέντα — 58 προσεξένει
heirm. καθ. cf. MR I, 9

καθ. 4-5 cf. Eph. 5,2; Philip. 4,18

ὅθεν σήμερον
τὴν ἱερὰν ὑμῶν μνήμην
ἑορτάζομεν
10 ἐν εὐφροσύνῃ καρδίας,
παρθένοι νεάνιδες.

ᾠδὴ δ'. *Ὑμνῶ σε·*
ἀκοὴν γάρ, κύριε,

Νοΐ μὲν
ἐξεδήμεις, ἔνδοξε,
ἐν ἀγάπῃ τελειοτάτῃ
πρὸς τὸν θεὸν χαίρουσα,
70 παρεῖχες δὲ τοῖς πλανωμένοις
τὸ σὸν καταικίζειν σῶμα ἄμωμον·
ὅθεν ἀγγέλων τάγματα κατέπληξας.

Ἀγάπῃ
τῇ πρὸς σὲ ἡ ἔνθεος
f. 74 75 Ἐρωτίη, Καπετω‖λίνα,
κρατουμένη, ἔδραμεν
αὐτόκλητος ἐν τῷ σταδίῳ,
παθεῖν μετὰ σοῦ προθύμως σπεύδουσα
διὰ Χριστὸν τὸν μόνον ὑπεράγαθον.

80 Ἰδών σε,
Ἐρωτίη, πρόθυμον
ὁ παράνομος κατεπλάγη,
θωπευτικῶς ὅμως δὲ
πειρᾶται λόγοις ἀπατᾶν σε
85 Χριστοῦ ἀποστῆναι τοῦ φωτίσαντος
τὴν καθαράν σου, πάνσεπτε, διάνοιαν.

Ξοάνοις
ἀναισθήτοις τύραννος
κατηνάγκαζεν ἀναισθήτως
90 τὰς τοῦ Χριστοῦ μάρτυρας

heirm. δ' EE 38, n. 51, Cosmae

ὁ δυσμενὴς προσάγειν σέβας,
ἀλλ' οὖν καθορῶν αὐτῶν τὸ φρόνημα
ἐρηρεισμένον, ὄντως ἐμωραίνετο.

Ἰδών σε
θεοτ. 95 νοεροῖς τοῖς ὄμμασιν
ὁ προφήτης ἐκάλει ὄρος
ταῖς ἀρεταῖς, πάναγνε,
κατάσκιον· ἐκ σοῦ ὁ λόγος
σαρκὶ τοῖς ἀνθρώποις ἐπεδήμησεν,
100 εὐλογημένη, σώζων τοὺς ὑμνοῦντάς σε.

ᾠδὴ ε'. *Ὁ φωτισμὸς*

Ναὸς θεοῦ
πεπλησμένος τῆς θείας
φωτοδοσίας
καὶ πεποικιλμένος ἀρρήτῳ κόσμῳ
f. 74v 105 || Καπετωλίνα
ἡ σεμνή τε ἐν δόξῃ
Ἐρωτίη σαφῶς ἐδείχθησαν·
ὅθεν τῶν εἰδώλων ναοὺς ἐξηφάνισαν.

« Στῶμεν στερρῶς »
110 — ἀνεβόων ἀλλήλαις
αἱ ἀθλοφόροι —
« ἤνοικται τὸ στάδιον τῶν ἀγώνων,
σαρκὸς θνησκούσης
μὴ φεισώμεθα ὅλως,
115 μὴ βασάνοις νῦν δειλιάσωμεν,
ἔχουσαι Χριστὸν συνεργὸν τὸν θεὸν ἡμῶν ».

Ἐπιφορὰς
πολυτρόπων βασάνων
μὴ πτοηθεῖσαι,
120 μηδὲ δειλιάσασαι πῦρ παφλάζον ·

heirm. ε' EE 34, n. 46, Joannis 93 ἐρειριμένον

96-98 Ab. 3,3

ἔστητε μέσον
τῶν ἀνόμων τυράννων,
τοῦ δεσπότου τὸ θεῖον ὄνομα
ἐν ἀγαλλιάσει ψυχῆς καταγγέλλουσαι.

θεοτ. 125 Μετὰ πάντων
τῶν ἁγίων ἀγγέλων,
μετὰ μαρτύρων,
μετὰ προφητῶν τε καὶ ἀποστόλων
τῇ θεοτόκῳ
130 ἐκβοήσωμεν· « χαῖρε,
τὸ χωρίον τῆς θείας φύσεως,
χαῖρε, οὐρανὲ καὶ νυμφῶν ὡραιότατε ».

ᾠδὴ ς'. *Ἄβυσσος ἁμαρτημάτων*

Νέκρωσιν τὴν ζωηφόρον
μιμούμεναι τοῦ δεσπότου,
135 ἐνεκρώθητε τῇ σαρκὶ
καὶ ζῆτε, πανόλβιοι,
νεκρώσασαι
τὸν πολύμορφον ὄφιν.

Ὄργανα πρὸς τιμωρίαν
140 ἠυτρεπισμένα παντοῖα,
μάρτυρες κυρίου, οὐδαμῶς
ὑμεῖς ἐπτοήθητε,
τὴν μέλλουσαν
προορώμεναι δόξαν.

145 Νέμουσιν ἰάσεις πᾶσιν
f. 75 τοῖς προσπελάζουσι || πίστει
τῇ ἑαυτῶν τιμίᾳ σορῷ
αἱ ἅγιαι μάρτυρες
καὶ παύουσιν
150 πολυτρόπους ὀδύνας.

heirm. ς' EE 44, n. 59, Germani

133-135 cf. II Cor. 4,10

θεοτ. Ἔτεκες τὸν πρὸ αἰώνων
ἐκ τοῦ πατρὸς γεννηθέντα
καὶ τὸν τρέφοντα πᾶσαν πνοὴν
γάλακτι ἔθρεψας,
155 πανύμνητε·
φοβερόν σου τὸ θαῦμα.

ᾠδὴ ζ′. *Ῥήτορες*
ἀνεδείχθησαν παῖδες

Ξενίζει
ἀκοὴν ἡ ἀνδρεία
ὑμῶν, Χριστοῦ ἀθλοφόροι·
160 ἐν γυναικείᾳ γὰρ ⟨φύσει⟩
τὸν ἐξαλείφειν ὄρη καυχώμενον
ἐτροπώσασθε
πολυμήχανον ἐχθρὸν
τῷ τῆς τριάδος σθένει.

165 Αἱμάτων
ἐναπέσβεσαν ῥείθροις
εἰδωλικὴν πυρκαϊὰν
f. 75v ‖ αἱ εὐκλεεῖς ἀθλοφόροι,
νῦν δὲ θαυμάτων ὄμβρους προφέρουσαι
170 καταπαύουσιν
παθημάτων τὸν φλογμὸν
εἰς δόξαν τῆς τριάδος.

Δέσμιοι
γεγονυῖαι, δεσμεῖτε
175 τὸν πολυμήχανον ἐχθρὸν
καὶ διαλύετε τούτου
πολυειδῆ, σεμναί, μηχανήματα
καὶ προσάγεσθε
ὁλοκαύτωμα Χριστῷ
180 εἰς ὀσμὴν εὐωδίας.

---

heirm. ζ′ EE 35, n. 47, Joannis 162 duabus syllabis deficit: φύσει ipsa scripsi

---

180 cf. Eph. 5,2; Philip. 4,18

θεοτ. Ὡς ῥίζαν
καὶ πηγήν σε, παρθένε,
τῆς ἱερᾶς παρθενίας
καὶ σωτηρίας αἰτίαν
185 αἱ ἱεραὶ παρθένοι ἠγάπησαν
καὶ ὀπίσω σου
προσηνέχθησαν θεῷ
νῦν ἐν ἀγαλλιάσει.

ᾠδὴ η′. *Ἰνδάλματος χρυσοῦ*

Μαστίγων ἀλγεινὰ
190 ὑπομείνασαι καὶ πόνους ἀνδρειοφρόνως
Καπετωλίνα
καὶ ἡ ἔνδοξος Ἐρωτίη,
ἄλγη καὶ πόνους πάντων θεραπεύουσιν·
⟨’εν ἀγαλλιάσει⟩
« ὑμνεῖτε τὸν κύριον πᾶσα κτίσις
195 καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας ».

Ἐκ θλίψεως πολλῆς
καὶ στενώσεως ἐξήλθετε, ἀθλοφόροι,
πρὸς πλατυσμὸν γὰρ
εὐωχίας τῆς ἀνωτάτω
200 καὶ νῦν πληροῦσθε πάσης θυμηδίας ψάλλουσαι·
« ἡ οὐσιωθεῖσα
ὑμνεῖτε τὸν κύριον πᾶσα κτίσις
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας ».

Λεόντων νοητῶν
205 διεθλάσατε τὰς μύλας τὰς ψυχοφθόρους
καὶ γεγονυῖαι
τοῦ δεσπότου ἥδιστον βρῶμα
καὶ προσφορά τε θύματα ὁλόκληρα,
μέλπετε ἀπαύστως·

---

heirm. η′ EE 35, n. 47, Joannis 193-194 versus desideratur, quem coniecimus ἐν ἀγαλλιάσει post v. 211 troparium desideratur O incipiens

210 « ὑμνεῖτε τὸν κύριον πᾶσα κτίσις
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας ».

’Ο..................................

θεοτ. Σοφία τοῦ θεοῦ
ᾠκοδόμησε τὸν οἶκον ἐκ σῶν αἱμάτων
τὸν ἑαυτῆς,
215 παρθένε, καὶ καθωράθη
μετὰ σαρκὸς ὁ φύσει ἀθεώρητος
ὑπὸ τῶν βοώντων·
« ὑμνεῖτε τὸν κύριον πᾶσα κτίσις
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Ἡ τὸν πρὸ ἡλίου*

220 Ἵσταντο ἀνόμων
ἐνώπιον αἱ μάρτυρες κρινόμεναι
καὶ ἐν σαρκὶ τοὺς πόνους εἰσδεχόμεναι
καὶ ἐν ταύτῃ τὴν ἁμαρτίαν
ἤδη κατακρίνουσαι
225 καὶ τῷ κριτῇ τῆς κτίσεως
δεκτὴ θυσία προσαγόμεναι.

Ὤφθητε ὡς ζεῦγος
τρυγόνων καθαρῶν παγίδας, ἔνδοξοι,
τῶν θηρευτῶν ἀνόμων διαδράσασαι
230 καὶ εἰς ὕψος περιφανῶς
τὸ θεῖον καταπαύσασαι
καὶ πρὸς θεὸν σκηνώσασαι·
ὑπὲρ ἡμῶν αὐτὸν πρεσβεύσατε.

f. 76ᵛ || Στῶμεν εὐφροσύνως
235 ἐν οἴκῳ τοῦ θεοῦ ἡμῶν, δοξάζοντες

---

vv. 211-212 troparium cecidit
heirm. θ' EE 40, n. 53, Cosmae

225-226 cf. Philip. 4,18

Καπετωλίνης πόνους καὶ παλαίσματα,
Ἐρωτίης τὰ ὑπὲρ φύσιν
στίγματα καὶ τρόπαια,
ὅπως ταῖς τούτων εὕροιμεν
240 πταισμάτων λύσιν παρακλήσεσιν.

Ἤνθησαν ὡς ῥόδα
κοιλάσιν ἀθλοφόρων καὶ ὑψίκομοι
περιφανῶς ὠράθησαν κυπάρισσοι,
εὐωδίᾳ πνευματικῇ
245 ἐνθέως συντηρούμεναι
Καπετωλίνα πάντοτε
καὶ Ἐρωτίη ἡ πολύαθλος.

θεοτ. Φέρεις ὥσπερ βρέφος
πατρὶ πρὸ αἰώνων συνυπάρχοντα
250 καὶ γαλουχεῖς τὸν τρέφοντα τὰ σύμπαντα,
ἀνωτέρα τῶν Χερουβὶμ
ἐν τούτῳ χρηματίσασα,
εὐλογημένη πάναγνε·
ὅθεν πιστῶς σε μακαρίζομεν.

241-242 cf. Sir. 39,13 242-243 cf. Sir. 50,10.

27 OCT. *CANON XXXVI*

IN SANCTAS CAPITOLINAM ET EROTEIDEM

Barb. gr. 535 = B., ff. 169-171
Sinait. gr. 562 = Σφ, ff. 134-136

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Ξυνωρὶς αὐτάδελφος αἰνείσθω πόθῳ· ⟨Γεωργίου⟩.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἄσωμεν τῷ κυρίῳ*
τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ

f. 169ᵛ ‖ Ξύλον ζωῆς ὑπάρχων
καὶ ἀθανασίας, ὑπεράγαθε,
τῶν μαρτύρων πρεσβείαις
ἀκηράτου ζωῆς με ἀξίωσον.

5 Ὕδατι τῆς ἁγνείας
καὶ αἱμάτων ῥείθροις, πανάοίδιμε,
λουσαμένη, πρὸς θείαν
τοῦ νυμφίου παστάδα εἰσέδραμες.

Νέφη τῆς ἀσεβείας
10 τὸ τῆς εὐσεβείας σου φαιδρότατον
οὐκ ἐκάλυψε, μάρτυς,
ἀλλὰ τοῦτο τοῖς πᾶσιν ὑπέδειξεν.

---

acr. nomen ΓΕΩΡΓΙΟΥ deducitur e theotokiis
heirm. α' ΕΕ 224, n. 321, Joannis

---

1 Gen. 2,9; Prov. 3,18; Ap. 2,7

Ὥπλισέ σε ὁ ἔρως
τοῦ Χριστοῦ, φερώνυμε, καὶ ἔδειξε
15 κατὰ τῆς ἀσεβείας
πολεμίαν φρενῶν γενναιότητι.

θεοτ. Γνώσεως, θεοτόκε,
διὰ σοῦ τῆς θείας ἠξιώθημεν
οἱ θεὸν ἐπιγνόντες
20 καὶ θεοῦ σε μητέρα δοξάζοντες.

ᾠδὴ γ'. *Σὺ εἶ τὸ στερέωμα*

Ῥείθροις τῶν αἱμάτων σου
εἰδωλικοὺς ναοὺς ἔκλυσας,
μάρτυς Χριστοῦ, καὶ τὴν ἐκκλησίαν
θείοις νάμασιν ἤρδευσας.

25 Ἴσην τὴν προαίρεσιν
πρὸς τὴν εὐσέβειαν δείξασαι,
ὁμοειδεῖς πόνους ἐν ἀγῶσιν
ὑπεμείνατε, ἔνδοξοι.

Σώματι τὸν ἄσαρκον
30 καταπαλαίσασαι, ἔνδοξοι,
ὑπερφυῆ τρόπαια καὶ νίκας
κατ' αὐτοῦ ἀπηνέγκατε.

θεοτ. Ἔθραυσε βραχίονα
τοῦ ἰσχυροῦ ἐχθροῦ, ἄχραντε,
35 ὁ σὸς υἱὸς καὶ τοὺς συντριβέντας
ἡμᾶς πάντας ἀνώρθωσεν.

---

13 Ὥπλισε] Ἔπλησε B 16 πολιμίαν B
heirm. γ' ΕΕ 224, n. 321, Joannis 26 δείξασα Σφ 30 καταπαλαίσασα Σφ 32 ἀπηνέγκασθε Σφ

Κάθισμα.

Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

Οὐ κατεπλάγης τῶν ἐχθρῶν
....

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*

Ἀναφαίρετον κόσμησιν
f. 170 προημφιασμένη τῆς καθαρότη‖τος
ταῖς βαφαῖς ταῖς τῶν αἱμάτων σου
40 ὡραιώθης, μάρτυς, καὶ ἐξέλαμψας.

Ὑπετάγη φρονήματα
φύσει ἀσθενεῖ ὑπεραιρόμενα
τῶν τυράννων καὶ αἱ μάρτυρες
ταπεινώσει θείᾳ ἀνυψώθησαν.

45 Τὸ γεῶδες τοῦ σώματος
ἀποσεισαμένη, Καπετωλίνα σεμνή,
τῆς ἀθλήσεως ταῖς πτέρυξιν
ἀπὸ γῆς ἀνέπτης πρὸς τὰ ἄϋλα.

Ἀδελφὰ καὶ ὁμότροπα,
50 μάρτυς, συμφρονοῦσα τῇ ὁμογνώμονι
ἀδελφῇ, Ἐρωτηΐς, τοὺς αὐτοὺς
ὑπὲρ ἀληθείας ἄθλους ἤνυσας.

θεοτ. Ὡραιώθης, πανάχραντε,
μόνη ὑπὲρ πάσας τὰς γενεὰς γυναικῶν,
55 τὸν τὰ πάντα καλλωπίσαντα
ἐν σαρκὶ τεκοῦσα ὑπὲρ ἔννοιαν.

καθ. om. Σφ   καθ. ed. MR I, 540
heirm. δ' EE 225, n. 322, Cosmae   42 ἀσθενοῦς B   ἀσθενούσῃ Σφ
49 Ἀδελφὲ καὶ ὁμότροπε B   51 ἐρωτιθεὶς B   ἐρωτεῖς Σφ

ᾠδὴ ε'. *Φώτισον ἡμᾶς*

Δένδρον εὐθαλὲς
σωφροσύνῃ ἀρδευόμενον
ἐν τοῖς νάμασι δειχθεῖσα, σεμνή,
60 πρὸς ὕψος θεῖον
τῆς ἀθλήσεως ἀνέδραμες.

Ἔδωκας Χριστῷ
τῷ νυμφίῳ ὥσπερ σύμβολα
συναφείας τὴν ἁγνείαν σου
65 καὶ τῆς παστάδος
τῆς τούτου, μάρτυς, ἠξίωσαι.

Λύσασα αὐτὴν
τῆς προσκαίρου, μάρτυς, σχέσεως,
συνεδέθης θείῳ ἔρωτι
70 τῷ τοῦ κυρίου,
φερωνύμως εὐτυχήσασα.

θεοτ. Ῥάβδος τῆς ζωῆς
ἡ τὸ ἄνθος ἐξανθήσασα
σὺ ὑπάρχεις, θεονύμφευτε,
75 οὗ τῇ μεθέξει
ἀφθαρσίας ἠξιώθημεν.

ᾠδὴ ϛ'. *Ἱλάσθητί μοι, σωτήρ,*

Φιλότιμον τῷ Χριστῷ
τὴν γνώμην, μάρτυς, παρέστησας,
δι' ἄθλων μαρτυρικῶν
80 ταύτην βεβαιώσασα·
f. 170v ‖ ὅθεν ἀντιδόσεων
παρ' αὐτοῦ πλουσίων
ἠξιώθης, πανᾀοίδιμε.

---

heirm. ε' EE 224, n. 321, Joannis   67 αὐτὴν B   68 τὴν B
76 ἀξιούμεθα Σφ
heirm. ϛ' EE 220, n. 315, Joannis

72-73 Num. 17,23; Hebr. 9,4

Ὁ πόθος ὁ θεϊκὸς
85 τῶν φοβερῶν καταφρόνησιν
βασάνων καὶ προσβολῶν
ἐν σοὶ ἀπειργάσατο·
διὰ τοῦτο ἔνστασιν
παρ' ἐλπίδα, μάρτυς,
90 ἐπεδείξω ἐν τῷ σκάμματι.

Συνέθλασας κεφαλάς,
Ἐρωτηΐς, πολεμίων σου
καὶ ἄτρωτον τὴν ψυχὴν
κακῶν διετήρησας·
95 διὰ τοῦτο ἔτυχες
βραβείων τῆς νίκης
παρ' αὐτοῦ τοῦ δυναμοῦντός σε.

θεοτ. Γνωρίσαντες τὸ ἡμῶν
ἀξίωμα τὸ πρωτόκτιστον
100 τῇ ξένῃ σου καὶ φρικτῇ
κυήσει, πανάχραντε,
θείᾳ μεσιτείᾳ σου
πρὸς αὐτὸ δι' ἔργων
ἀναγόμεθα καὶ πίστεως.

ᾠδὴ ζ'. *Οἱ ἐκ τῆς Ἰουδαίας*

105 Ἀπορρίψασα πᾶσαν
τὴν καθέλκουσαν, μάρτυς,
εἰς γῆν προσπάθειαν,
τὸν ἐν τοῖς οὐρανίοις
συνάγοντα τοῦ κτίστου
110 πόθον ἐκτήσω ψάλλουσα·
« ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

---

heirm. ζ' EE 224, n. 321, Joannis   92 ἐρωτεΐς Σφ   105 ἀπορήψασα B

Ἰσχυρῶς προσπλακεῖσα
πολεμίων, γενναίως
115 ἐν ἀσθενείᾳ σαρκός,
τοῦτον εἰς γῆν καθεῖλες,
Χριστοῦ σε δυναμοῦντος,
Καπετωλίνα, κράζουσα·
« ὁ τῶν πατέρων ἡμῶν
120 θεός, εὐλογητὸς εἶ ».

Νυμφικῇ εὐλαβείᾳ
εὐσεβῆ παρρησίαν
μίξασαι, πάνσεμνοι,
σωφρόνως καὶ πανσόφως,
125 τὴν ἄκοσμον εἰδώλων
πλάνην ἐθριαμβεύσατε,
ὑμνολογοῦσαι Χριστὸν
εἰς πάντας τοὺς αἰῶνας.

Ἐν εὐσήμῳ ἡμέρᾳ
130 μεταστάσεως ὑμῶν
καὶ καταπαύσεως
Χριστὸν ἐκδυσωπεῖτε
ὑπὲρ τῶν εὐφημούντων
ὑμᾶς καὶ ἐκβοώντων, σεμναί·
135 « ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

θεοτ. Ἴδεν πᾶσα ἡ κτίσις,
θεοτόκε παρθένε,
τὸν καινισμὸν ἑαυτῆς
140 διὰ τῆς παραδόξου
καὶ ξένης καὶ ἀφράστου
f. 171 κυήσε||ως, κράζουσα·
« ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

---

113 Ἰσχυρὸς B   122 εὐσεβεῖ B   137 Ἴδεν pro Εἶδεν acrostichidis causa B ἰδοὺ Σφ

129-130 cf. Ps. 80,3

ᾠδὴ η΄. *Τὸν βασιλέα τῶν οὐρανῶν, ὃν ὑμνοῦσιν*

145 Ἰσχυροτέραν τῶν διωκτῶν, ἀθλοφόρε,
τὴν σὴν καρτερίαν ἀντιθεῖσα,
τούτων παρ' ἐλπίδα
ἐνήργησας τὴν ἧτταν.

Σῶμα τοῖς τέμνουσιν ἀφειδῶς ἀποδοῦσα,
150 ψυχὴν προσανέθου τῷ δεσπότῃ
τῷ δι' ἀμφοτέρων
δοξάζοντί σε, μάρτυς.

Θῦμα προσήχθης τῷ ἐραστῇ, ἀθλοφόρε,
ἄξια τοῦ ἔρωτος τὰ γέρα,
155 τὴν ἄνω παστάδα
λαβοῦσα εἰς αἰῶνας.

Ὡς τῆς ἀμπέλου τῆς νοητῆς, ἀθλοφόροι,
κλήματα ὑπάρχουσαι, τὸν βότρυν
τὸν τῆς σωφροσύνης
160 ἐκθλίψασαι τῷ κόσμῳ.

θεοτ. * Ὁ κατ' οὐσίαν τὴν θεϊκὴν θεὸς λόγος
ὢν ἀπρόσιτος, παρθένε,
διὰ σοῦ ἐφάνη
εὐπρόσιτος ἀνθρώποις.

ᾠδὴ θ΄. *Κυρίως θεοτόκον*

165 Πυρὶ τῷ τῆς ἀγάπης
τοῦ θεοῦ τῶν ὅλων
πυρπολουμένη,
πυρὸς οὐκ ἐνάρκησας
τοῦ ὁρωμένου τὴν φλόγα,
170 Καπετωλίνα σεμνή.

---

heirm. η΄ EE 224, n. 321, Joannis 156 λαβοῦσαι 159-160 τῆς εὐφροσύνης / ἐπήγασαν ἀξίως Σφ 160 ἐκθλίψασα B ἐκθλίψασαι: ἦτε subaudias. 161-164 θεοτ. ed. MR IV, 115
heirm. θ΄ EE 224, n. 321, Joannis

157-158 cf. Joh. 1,5

Ὁ πλοῦτος τῆς ἁγνείας
τεθησαυρισμένος
ἐν τῇ ψυχῇ ὑμῶν
τῷ κόσμῳ μετέθητε
175 εἰς φανερόν, ἀθλοφόροι,
διὰ ἀθλήσεως.

Θανάτῳ τῷ προσκαίρῳ
τὴν εἰς τοὺς αἰῶνας
ζωὴν ἀμείψω
180 καὶ δόξαν ἀθάνατον,
ἐν ᾗ μνημόνευε, μάρτυς,
τῶν εὐφημούντων σε.

Ὡς ἄξιον τοῦ θείου
ἔρωτος λαβοῦσα
185 τὸν τῆς σκηνώσεως
τόκον ἱκέτευε
ὑπὲρ ἡμῶν, Ἐρωτηΐς,
τῶν εὐφημούντων σε.

θεοτ. * Ὑπάρχεις, θεοτόκε,
190 μόνη θυμηδία
καὶ εὐφροσύνη
ἡμῶν τῶν ὑμνούντων σε
καὶ εὐθυμία καὶ δόξα
καὶ ἀγαλλίασις.

---

173 ὑμῶν] σου B 174 τῷ κόσμῳ om. B 175 ἀθλοφόρε B 183-188 om. B 187 Ἐρωτεΐς Σφ 189-194 θεοτ. ed. MR IV, 99 194 ἀγαλλίαμα Σφ

29 OCT. *CANON* XXXVII

IN SANCTUM ABRAMIUM

Synaxarium, 173-175: Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀβραμίου. Οὗτος ἐκ γονέων ἦν χριστιανῶν, ἐζεύχθη δὲ ἀβουλήτως γυναικί. Διὰ δὲ τὸν πρὸς Κύριον πόθον καταλιπὼν αὐτὴν καὶ ἀναχωρήσας, καθεῖρξεν ἑαυτὸν εἰς σμικρότατον οἴκημα· μετὰ δὲ χρόνους δέκα χειροτονεῖται πρεσβύτερος.

Vat. gr. 2 = V, ff. 70-71v

Ὁ κανών.

Ἦχος βαρύς.

ᾠδὴ α'. *Τῷ συνεργήσαντι θεῷ*

Τῷ πατριάρχῃ Ἀβραὰμ
συνώνυμος πλήρης
ὑπάρχων, ὅσιε,
αὐτοῦ καὶ τοῖς ἴχνεσι
5 πνευματικῶς ἐβάδισας.

Τὴν ὑπερκόσμιον, πατήρ,
πολιτείαν ποθήσας
καὶ τὴν ἐκεῖσε ζωήν,
τὰ πάντα κατέλειπας
10 καὶ Χριστῷ συνεσταύρωσαι.

Ἀστραποφώτοις ἀρεταῖς,
θεοπόθητε πάτερ,
Χριστῷ προσέδραμες
καὶ εὗρες ἀνάπαυσιν
15 ἀνέκλειπτον, Ἀβράμιε.

---

heirm. α' EE 202, n. 287, Germani

---

10 cf. Gal. 2,19

θεοτ. * Ἡ διὰ λόγου ἐν σαρκὶ
ὑπὲρ λόγον τεκοῦσα
τὸν ἀρχηγὸν τῆς ζωῆς,
ἀπαύστως ἱκέτευε
20 σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ᾠδὴ γ'. *Ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ*

f. 70v ‖ Τοῖς πόνοις τῆς ἀσκήσεως, θεοφόρε,
νικήσας τῆς σαρκός σου τὰ σκιρτήματα,
θεία χάρις ἐξέλαμψε
τῇ καρδίᾳ σου, ἅγιε.

25 Τὸν πλοῦτον ἐπεπόθησας τῆς σοφίας,
ἐκεῖθεν ἀτενίζων διὰ πίστεως
ὀφθαλμοῖς τῆς καρδίας σου
εἰς τὰ βάθη τοῦ πνεύματος.

Ὡς ἔχων παρρησίαν, θεοῦ θεράπον,
30 αὐτῷ τῷ σωτῆρι καὶ θεῷ ἡμῶν
ἱκετεύων μνημόνευε
ὑπὲρ τῶν ἀνυμνούντων σε.

θεοτ. Τὴν πρώτην Εὔαν ἔλυσας τῶν ὠδίνων,
τεκοῦσα τὸν ἀμήτορα, θεόνυμφε,
35 καὶ ἀπάτορα τῷ τόκῳ σου
τοὺς δεσμοὺς ἡμῶν λύοντα.

ᾠδὴ δ'. *Εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην*

Ἐξηφάνισας
πᾶσαν τὴν πλάνην τοῦ ἀλλοτρίου,
θείας γνώσεως, μακάριε,
40 μυστικῶς ἐκλαμπόμενος.

16-20 θεοτ. ed. NS 28 (1933), 335
heirm. γ' EE 201, n. 285, Joannis
heirm. δ' EE 203, n. 287, Germani

Ποίμνην ἐκ πλάνης
τοῦ ἀλλοτρίου ποιμαινομένην
διὰ πλήθους τῶν ἀγώνων σου
Χριστῷ πιστεύειν προσήγαγες.

45 Ὁ κατευθύνας
πᾶσαν τὴν τρίβον τοῦ ἱεράρχου,
ταῖς εὐχαῖς αὐτοῦ κατάπεμψον
ἡμῖν, σωτήρ, τὰ ἐλέη σου.

θεοτ. Μήτηρ ἄχραντε,
50 εὐλογημένη ἁγνὴ παρθένε,
τοὺς ὑμνοῦντάς σε περίσωζε
ἀπὸ πάσης περιστάσεως.

ᾠδὴ ε΄. *Οἱ ὀρθρίζοντες, λόγε,*

Χελιδὼν ἀνεδείχθης,
θεόφρον, θεηγόρος,
55 μελετῶν ἐν καρδίᾳ
Χριστοῦ θείαν σοφίαν·
ἐξ ὕπνου γὰρ λαοὺς
ἀγνοίας διήγαγες.

Πατρικὴν διανείμας
60 οὐσίαν, θεοφόρε,
ἀδαπάνητον πλοῦτον
ἀεὶ ἐκτήσω, πάτερ·
αὐτὸν γὰρ ἀληθῶς
ἐκ βρέφους ἠγάπησας.

θεοτ. 65 * Παναγία παρθένε,
ἡ κεχαριτωμένη,
ἡ τεκοῦσα ἐν χρόνῳ
τὸν λόγον ὑπὲρ λόγον,
δυσώπησον αὐτὸν
70 σῶσαι τὰς ψυχὰς ἡμῶν.

42 κοιμενομαίνην
heirm. ε΄ EE 204, n. 289, Germani 65-70 θεοτ. MR III, 88

ᾠδὴ ς΄. *Ὁ Ἰωνᾶς*
ἐκ κοιλίας Ἅδου ἐβόα

Προσήγαγες
τῷ θεῷ, ἱεράρχα,
τοῖς πόνοις σου
θεοφύτευτον ποίμνην,
75 ἐδίδαξας τῷ λόγῳ
ἀνυμνεῖν καὶ προσκυνεῖν τὸν σωτῆρα Χριστόν.

f. 71 ‖ Τοὺς σέβοντας
εὐσεβῶς σου τὴν μνήμην
ἀξίωσον,
80 τοῦ κυρίου θεράπον,
ταῖς εὐχαῖς σου γενέσθαι
συμμετόχους τῆς ἐν σοὶ θείας χάριτος.

θεοτ. * Ὃν ἔτεκες,
θεοτόκε, ἀνερμηνεύτως
85 θεὸν ἡμῶν
δυσωποῦσα μὴ παύσῃ
ῥυσθῆναι ἐκ κινδύνων
τοὺς ὑμνοῦντάς σε, ἁγνὴ ἀειπάρθενε.

ᾠδὴ ζ΄. *Ὁ τῶν πατέρων καὶ ἡμῶν θεός*

Τῇ ἐγκρατείᾳ, πάτερ, ἐτρύφας,
90 ἐδείχθης θρέμμα τῆς εὐσεβείας.

Τὸ φῶς ὁρῶντες τῶν πράξεών σου
Χριστὸν ὑμνοῦμεν ἀπαύστως, πάτερ.

Ταῖς ἱκεσίαις τοῦ θεοφόρου,
σωτὴρ τοῦ κόσμου, ἐλέησόν με.

θεοτ. 95 Παρθένε μήτηρ εὐλογημένη,
θεὸν δυσώπει ὑπὲρ τοῦ κόσμου.

heirm. ς΄ EE 204, n. 289 Germani 83-88 θεοτ. NS 28 (1933), 337
heirm. ζ΄ EE 203, n. 287 Germani

ᾠδὴ η'. *Τὸν μόνον ἄναρχον*

Τὸν θεοστήρικτον
στῦλον τῆς ἐκκλησίας,
τὸν ἐν νηστείαις,
100 ἀγρυπνίαις καὶ πόνοις
κτησάμενον
πρὸς θεὸν παρρησίαν
ὑμνεῖτε ἱερεῖς,
λαὸς ὑπερυψοῦτε
105 εἰς πάντας τοὺς αἰῶνας.

Τὸν καταργήσαντα
διὰ τοῦ ἱεράρχου
εἰδώλων πλάνην
καὶ λαὸν ἀπειθοῦντα
110 φωτίσαντα
ταῖς αὐτοῦ δαδουχίαις
ὑμνεῖτε ἱερεῖς,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

115 Τὸν καταπέμψαντα
τῷ ὁσίῳ τὴν χάριν
καὶ καθοπλίσαντα
τῇ τοῦ πνεύματος δόξᾳ
καὶ σώσαντα
120 δι' αὐτοῦ τὴν ἀμνάδα
Μαρίαν εὐσεβῶς,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

θεοτ. Τὸν μόνον εὔσπλαγχνον,
125 προαιώνιον λόγον,
τὸν ἐκ παρθένου

heirm. η' EE 204, n. 289, Germani 118 δόξαν 121 Μαρίαν εὐσεβῶς eadem manu scripta supra verba ὑμνεῖτε ἱερεῖς

119-121 *Synax. CP.* 174... Ἐν τῷ εἰκοστῷ δὲ χρόνῳ τῆς ἡλικίας αὐτῆς (τῆς θυγατέρας τοῦ κατὰ σάρκα ἀδελφοῦ) συνέβη φθόνῳ τοῦ δαίμονος περιπεσεῖν αὐτὴν πτώματι καὶ ἐν πανδοχείῳ μετὰ τῶν ἑταιριζομένων γενέσθαι. Στρατιώτου δὲ σχῆμα ὁ ἅγιος ὑποδὺς καὶ ἐπιβὰς ἵππῳ, τοῦ πτώματος αὐτὴν ἐξήρπασε καὶ πρὸς τὸ ἴδιον κατέστησε τόπον.

ἐπ' ἐσχάτων τεχθέντα
καὶ σώσαντα
τῶν ἀνθρώπων τὸ γένος
130 ὑμνεῖτε ἱερεῖς,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Τὴν ὑπὲρ φύσιν μητέρα*

Ὑπομονὴν καὶ ἀνδρείαν,
μακροθυμίαν καὶ πίστιν
135 κτησάμενος ἀληθῶς,
ὅσιε πάτερ,
εἰσοίκισας τὸν Χριστὸν
ἐν καρδίᾳ σου, Ἀβράμιε.

Τὸν Ἀβραὰμ ἐμιμήσω,
140 θεομακάριστε πάτερ·
πατάξας γὰρ τῶν ἐχθρῶν
πάντα τὰ στίφη,
ἀφήρπασας τοῦ Χριστοῦ
τὴν ἀμνάδα ἐκ δουλείας παθῶν.

145 Προκαταρτίσας τοῖς πόνοις
πᾶσαν τὴν τρίβον, θεόφρον,
τοῖς ἴχνεσι μυστικῶς
τῶν ἀρετῶν σου
κατέλαβες τὰς σκηνὰς
150 τῶν ἁγίων, παμμακάριστε.

f. 71v θεοτ. * ‖ Τὴν ἐν γαστρὶ συλλαβοῦσαν
τὸν ἀπερίγραπτον λόγον
καὶ τοῦτον ἄνευ σπορᾶς
σαρκὶ τεκοῦσαν,
155 τὴν ἄχραντον ἀληθῶς
θεοτόκον μεγαλύνομεν.

heirm. θ' EE 203, n. 287, Germani 151-156 θεοτ. ed. MR III, 49 151 συλλαβοῦσα 154 τεκοῦσα

139-142 Gen. 14,15

30 OCT. CANON XXXVIII

IN SANCTOS ZENOBIUM ET ZENOBIAM

Synaxarium, 177-178: Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ζηνοβίου καὶ Ζηνοβίας τῆς ἀδελφῆς αὐτοῦ. Ὁ ἅγιος μάρτυς Ζηνόβιος ἦν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ, εὐσεβῶν γεννητόρων υἱὸς Ζηνοδότου καὶ Θέκλης. Προκόψας δὲ εἰς ἡλικίαν..... ἐπίσκοπος χειροτονεῖται τῆς Αἰγαίων πόλεως, ἐν ᾗ καὶ γεγέννηται· πλείστας δὲ ἰάσεις ἐπετέλει ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ, ὡς καὶ τὰ παρὰ τῶν ἰατρῶν ἀπαγορευόμενα πάθη θεραπεύειν. Οὗτος συνελήφθη καὶ παρέστη τῷ ἡγεμόνι Λυσίᾳ· καὶ πυθομένη τοῦτο ἡ αὐτοῦ ἀδελφὴ ἐπέδωκεν ἑκουσίως ἑαυτήν. Τύπτονται οὖν καθ' ἐπὶ κλίνης σιδηρᾶς πεπυρακτωμένης ἐφαπλοῦνται καὶ εἰς λέβητα πίσσης ἐμβάλλονται. Ῥυσθέντες δὲ τῇ τοῦ Χριστοῦ χάριτι τῶν τοιούτων βασάνων, τὴν διὰ ξίφους δέχονται τελευτήν.

Paris. gr. 1619 = P, ff. 128v-130

Ὁ κανών.

Ἦχος β'.

ᾠδὴ α'. *Δεῦτε, λαοί,*
ᾄσωμεν ᾆσμα Χριστῷ τῷ θεῷ

Τὸν νοητὸν
σήμερον ἡμῖν παράδεισον
τῶν χαρισμάτων ἤνοιξεν
ὁ φυτουργὸς Χριστὸς
5 καὶ ὡς ἄνθη παρέχει
διὰ τοῦ ἱεράρχου
πᾶσιν ἰάματα.

Βίον ζωῆς
πρόξενον τῆς ἀκηράτου ποθῶν,

tit. nomen Γεωργίου legitur in margine
heirm. α' EE 37, n. 51, Cosmae

10 βίον τὸν εὐδιάβατον,
πάτερ Ζηνόβιε,
ὑπεῖδες, ἐν ᾧ σοι
μοναὶ ὑπεδέξαντο
διαιωνίζουσαι.

θεοτ. 15 Γνόντες τὴν σήν,
δέσποινα, φιλανθρωπίαν πιστοὶ
καὶ τὴν θερμὴν βοήθειαν
ἐν περιστάσεσιν,
ἐπὶ σοὶ τῇ πανάγνῳ
20 προσφεύγοντες ἀπαύστως
διασωζόμεθα.

ᾠδὴ γ'. *Στερέωσον ἡμᾶς*
ἐν σοί, κύριε,

Ὁ ὁρῶν ἐκ δεξιῶν
ἀεὶ τὸν κύριον
νοητῇ ὁράσει, ταῖς ὁρωμέναις
25 προσβολαῖς, πάτερ Ζηνόβιε,
τῶν ἐχθρῶν οὐκ ἐσείσθης,
οὐκ ἐνάρκησας.

Τῷ ἔρωτι, σεμνή,
Χριστοῦ τῆς πίστεως
30 τὸν ζῆλον μίξασα τῆς εὐσεβείας,
Ζηνοβία, ἐπολέμησας
f. 129 τὴν ἀντίθεον || πλάνην
καὶ ἐνίκησας.

θεοτ. Ἐλύθημεν δεσμοῦ
35 τῆς κατακρίσεως
καὶ θείᾳ συνήφθημεν δικαιοσύνῃ
τῇ ἀχράντῳ σου κυήσει, ἁγνή,
οἱ ἀεὶ θεοτόκον
σὲ δοξάζοντες.

heirm. γ' EE 39, n. 53, Cosmae

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*

40 Τὴν λοιμώδη κατέπαυσας
πλάνην, σοφέ, μεθόδῳ εὐσεβείας
ψυχὰς λυμανθείσας ἐξιασάμενος.

Παρθενίᾳ κοσμήσασα
τὴν ψυχικὴν λαμπάδα, ἀθλοφόρε,
45 διανῆψας ταύτην πυρὶ ἀθλήσεως.

θεοτ. Ὡς πηγὴν ἀνεξάντλητον
σέ, θεοτόκε, ἔχοντες χαρίτων,
ἐκ σοῦ ἀρυόμεθα τὰ ἰάματα.

ᾠδὴ ε'. *Ὁ τοῦ φωτὸς χορηγὸς*

Γνώσεως λύχνον κρατῶν
50 τῆς ἀπλανοῦς ἐν τῇ νυκτί, ἔνδοξε,
τῶν ἀσεβῶν ἐχειραγωγήθης
πρὸς φῶς τὸ νοητόν,
Χριστὸν τὸν σωτῆρα
καὶ ἄδυτον ἥλιον.

55 Πίστεως ζήλῳ θεοῦ
δυναμωθεῖσα τὴν ψυχὴν ἔπληξας
τῆς στερρᾶς τὸν τῆς ἀσεβείας
καὶ πλάνης παρὰ
60 ⟨— ΄ — — ΄ —
— ΄ — — ΄ — —⟩

θεοτ. Ῥύπον καθαίρεις ψυχῶν
καὶ ἀποσμήχεις ἐμπαθεῖς μώλωπας
καὶ σαρκικὰ πάθη θεραπεύεις
ἡμῶν τῶν ἐπὶ σοὶ
65 ἀεὶ καυχωμένων,
παρθένε πανάχραντε.

---

heirm. δ' EE om., cfr. autem MR I 96
heirm. ε' EE 38, n. 51, Cosmae 58-60 versus non legimus foedata pagella

---

49-50 cf. Pr. 31,18.

ᾠδὴ ϛ'. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Ἐν ἀπείρῳ πατάξας, Ζηνόβιε,
τῶν σὲ πολεμούντων πληθῖα, τὰ τρόπαια
ἐν μυριάσιν ἔστησας,
70 ἀνυμνῶν τὸν ἀεὶ δυναμοῦντά σε.

Ὥσπερ στῦλον φωτὸς προηγούμενον
τὸν σοφὸν Ζηνόβιον ἔχουσα, ἔφθασας
εἰς γῆν τὴν τῆς ἀθλήσεως,
Ζηνοβία, ἐν ᾗ καὶ κατέπαυσας.

θεοτ. 75 Γηγενεῖς διὰ σοῦ πρὸς οὐράνιον
ὕψος ἀναγόμεθα, θεοχαρίτωτε·
διὸ τὸν σὸν πανάχραντον
καὶ ἀπόρρητον τόκον δοξάζομεν.

f. 129v ᾠδὴ ζ'. *Εἰκόνος χρυσῆς*

Νομὰς ἐπισχὼν
80 ἀθεΐας τοὺς βροτοὺς λυμαινομένας,
ἱερομάρτυς, ἐπρυτάνευσας
τὴν εὐεξίαν τῆς πίστεως
τῆς τοῦ ποιητοῦ τῶν ἁπάντων
πᾶσι τοῖς πόθῳ κραυγάζουσιν·
85 « εὐλογητὸς εἶ, ὁ θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Ψυχὴν ἀρεταῖς
προκοσμήσασα, σεμνή, ἐν τῇ ἀσκήσει
τοῦ μαρτυρίου ἐξωραΐσας
90 ταύτην ἐνθέοις λαμπρότησιν·
ὅθεν, Ζηνοβία, ἐβόας
ἁγνῶς Χριστῷ τῷ νυμφίῳ σου·
« εὐλογητὸς εἶ, ὁ θεός,

---

heirm. ϛ' EE 34, n. 31, Joannis 68 πληθῖα cf. Psaltes 159, πληθυῖα cd
heirm. ζ' EE 39, n. 53, Cosmae

71-73 cf. Ex. 14,21 ss.

ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. 95 Ἰσχὺς τοῦ ἐχθροῦ
ἐξησθένησε τῷ σῷ τόκῳ, Παρθένε,
καὶ ἀσθενοῦντες ἀνερρώσθημεν
καὶ κατ' αὐτοῦ κραταιούμεθα·
ὅθεν σε ὑμνοῦμεν ἀπαύστως
100 καὶ εὐχαρίστως κραυγάζομεν·
« εὐλογητὸς εἶ, ὁ θεός,
ὁ τῶν πατέρων ἡμῶν »

ᾠδὴ η'. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Ἐν τῇ νυκτὶ τῆς σκοτεινῆς
ἀθείας ὡς φωστὴρ ηὔγασας, πάτερ,
105 εὐσεβείας ἀκτῖνας
ἀφεὶς τοῖς πέρασι
καὶ πάντας πρὸς τὸ φῶς τὸ ἄδυτον
ἀνθρώπους ἰθύνων,
Ζηνόβιε τρισμάκας.

110 Σὺ τοῖς παθήμασι Χριστοῦ
ἡδυνθεῖσα νοητῶς, μάρτυς, τὸ πέρας
δι' αὐτῶν τοῖς ἀγῶσι
τοῖς τῆς ἀσκήσεως
τέθηκας, Ζηνοβία, κράζουσα·
115 « σὲ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας

θεοτ. Ὁ ἀπερίγραπτος υἱὸς
τοῦ Θεοῦ τε καὶ πατρὸς φύσει τῇ θείᾳ
σαρκωθεὶς ὑπὲρ λόγον
120 ἐκ σοῦ, πανάχραντε,
τῇ φύσει ἡμῶν περιγράφεται
καὶ σαρκὶ τυποῦται
σεπτῶς τῇ ἐν εἰκόνι.

---

heirm. η' ΕΕ 35, n. 47, Joannis 116 αὐτὸν εἰς

ᾠδὴ θ'. *Τὸν ἐκ θεοῦ θεὸν λόγον*

Εἰδωλικῶν σεβασμάτων
125 τοὺς βωμοὺς καταστρέφων,
τεμένη εὐσεβείας τῷ θεῷ,
πάτερ Ζηνόβιε, ἤγειρας,
ἐν οἷς φέρων θυσίας
αὐτῷ τὰς ἀναιμάκτους ἐκτενῶς
130 καθαρῶς τε καὶ ἁγνῶς,
λαοὺς ἐμυσταγώγησας.

Ἐν τῷ νυμφῶνι τῆς δόξης
τοῦ θεοῦ καὶ νυμφίου
χορεύουσα, ἱκέτευε αὐτὸν
135 ὑπὲρ τῶν πόθῳ τιμώντων σε,
Ζηνοβία, ῥυσθῆναι
αὐτοὺς τῶν ἐναντίων προσβολῶν
f. 130 ‖ καὶ παθῶν καὶ κινδύνων
τὸν κτίστην μεγαλύνοντας.

θεοτ. 140 Ὑπὲρ ἡλίου ἀκτῖνας
ἡ σὴ χάρις, παρθένε,
ἐν πᾶσιν ἁπλουμένη τοῖς πιστοῖς,
τῶν πειρασμῶν καὶ τῶν θλίψεων
τὴν ὁμίχλην ἐλαύνων
145 καὶ φέγγει καταυγάζει νοητῷ
τοὺς ἐν πίστει καὶ πόθῳ
σὲ ὕμνοις μεγαλύνοντας.

---

heirm. θ' ΕΕ 34, n. 46, Joannis Mitsakis 158. 144 ἐλαύνων pro ἐλαύνουσα cf.

31 OCT. *CANON* XXXIX

IN SANCTUM EPIMACHUM

Synaxarium, 181-182: Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἐπιμάχου. Ὃς ἦν λίαν ὡραῖος τὴν ὄψιν, ἐν ἀγρῷ τὴν οἴκησιν ἔχων, ἐκ πόλεως τοῦ Πηλουσίου. ..... Συσχηθεὶς οὖν ὡμολόγησε τὸν Χριστὸν καὶ ἀναρτηθεὶς ἐπὶ ξύλῳ γυμνὸς ξέεται ἐπὶ πολύ· εἶτα τὴν κεφαλὴν ἀποτέμνεται, τοὺς τῶν Ἑλλήνων θεοὺς λοιδορῶν.

Paris. gr. 1580 = U, ff. 161ᵛ-163
Paris. gr. 1619 = P, ff. 123-124

Ὁ κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἄσομαί σοι, κύριε, ὁ θεός μου*

Ἄσομαί σοι, κύριε ὁ θεός μου,
ὅτι ἀνέδειξας ἡμῖν
τὴν μνήμην τοῦ μάρτυρος
αὐγάζουσαν τὰ σύμπαντα,
5 ὡς μόνος πολυέλεος.

Ἄσομαί σοι, κύριε ὁ θεός μου,
ὅτι ἀήττητον τὸν σὸν
ἀνέδειξας μάρτυρα
Ἐπίμαχον τοῖς πέρασι
10 κατὰ τῆς ἀθεότητος.

Ἄσομαί σοι, κύριε ὁ θεός μου,
ὅτι χαρίσμασι θείοις

---

tit. Ἀνατο⟨λίου⟩ in margine scriptum P, in MR I, 571, ubi quaedam odae referuntur. Hymn. Joseph canon tribuitur.
heirm. α' EE 103, n. 146, Germani 5 Ἐπιμάχου τοῖς θαύμασιν P
10 καὶ νικητὴν contra metrum U κατὰ P

τὸν σὸν ἀθλοφόρον
ἐκόσμησας Ἐπίμαχον
15 καὶ τιμῇ ἐστεφάνωσας.

θεοτ. * Ἄσομαί σοι, κύριε ὁ θεός μου,
ὅτι ἀσπόρως ἐκ γαστρὸς
παρθένου ἐτέχθης,
δι' ἧς καὶ σώζεις ἅπαντας,
20 ὡς μόνος πολυέλεος.

ᾠδὴ γ'. *Τόξον δυνατῶν ἠσθένησε*

* Θράσος ἀσεβῶν ἠμαύρωσεν,
ἐν τῇ παντευχίᾳ τοῦ σταυροῦ ἐγκαυχώμενος
ὁ ἀήττητος στεφηφόρος
τοῦ Χριστοῦ μάρτυς Ἐπίμαχος.

25 * Δόξαν παριδὼν τὴν πρόσκαιρον
καὶ πρὸς τοὺς ἀγῶνας ἀποδυσάμενος, ἔχαιρεν
ὁ θεόφρων καὶ κληρονόμος
τῆς Χριστοῦ δόξης Ἐπίμαχος.

θεοτ. * Χαίροις, μῆτερ ἀειπάρθενε,
30 ἡ τὸν θεὸν λόγον ἐν γαστρί σου χωρήσασα
καὶ τεκοῦσα σεσαρκωμένον
ὡς θεὸν ὁμοῦ καὶ ἄνθρωπον.

Κάθισμα.

Ἦχος γ'. *Θείας πίστεως ὁμολογία*

Στήλη ἔμψυχος τῆς ἀληθείας,
μάρτυς, γέγονας ἐν τῇ ἀθλήσει,
τοὺς ἀοράτους ἐχθροὺς τροπωσάμενος

---

heirm. γ' EE 102, n. 144, Cosmae 16-20 MR I 570 odes γ' variis lectionibus hic et alibi MR I, 571 23 ὡς τροπαιοῦχος στεφανηφόρος U
25 πρόσκαιρον] ῥέουσαν P 27 οὐρανόφρων P 28 τοῦ Χριστοῦ μάρτυς Ἐπίμαχος P 29 μήτηρ ἀπειρόγαμε P MR 32 ἄνθρωπος P
κάθ. om. P

δι' ὁρωμένων τυράννων, πανάριστε,
παρὰ Χριστοῦ τὸ βραβεῖον δεξάμενος·
ὅθεν κράζομεν· « μὴ παύσῃ
πρεσβεύων, ἔνδοξε,
δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος ».

ᾠδὴ δ'. *Τῆς σῆς ἐπὶ* [*τῆς*] *γῆς*

* Τῆς τῶν ἀθέων
μὴ φροντίσας ἀπεινότητος
35 πρὸς τοὺς ἀγῶνας παρετάξω εὐθαρσῶς βοῶν
ὁ εὐκλεὴς 'Επίμαχος·
« δόξα τῇ δυνάμει σου, κύριε ».

* Τῶν ἐπιγείων
καταπτύσας τὴν λαμπρότητα
40 διὰ θανάτου βασιλείαν ἐκληρώσατο
ὁ εὐκλεὴς 'Επίμαχος [τὴν σήν,
ὦ σῶτερ, κράζων·]
δόξα τῇ δυνάμει σου, κύριε.

Τὸν σὺν πατρὶ
καὶ πνεύματι δοξολογούμενον
45 ἐν τοῖς ὑψίστοις ὁ καλλίνικος 'Επίμαχος
f. 162 ἐν τῷ σταδίῳ || κύριον
πᾶσιν αἰνοῦσιν ἐκήρυττεν.

θεοτ. * Χερουβικῶν
ταγμάτων ὑπερέχουσα
50 καὶ θεὸν ἐν ἀγκάλαις ἐποχούμενον
μετὰ σαρκὸς βαστάσασα,
χαῖρε, θεοτόκε ἀνύμφευτε.

---

heirm. δ' EE 104, n. 146' Germani
heirm. Τοὺς οὐρανοὺς ἡ ἀρετή σου κατεκάλυψε P (EE 104, n. 146, Germani) 33-37 MR I, 572 33 τῆς P τὴν U 35 παρετάξατο P 39 λαμπρότητα om. U 38-43 MR I, 572 41-42 τὴν σήν, ὦ σῶτερ, κράζων expungendum puto metro exulans 43-47 om P et MR 48-52 om. U, in MR I, 572

ᾠδὴ ε'. *Τὸν φωτισμόν σου, κύριε,*

* Θωρακισθεὶς τῇ χάριτι
τῷ ὅπλῳ τοῦ σταυροῦ,
55 τοῖς ἀσεβοῦσιν ἐβόα ὁ μάρτυς·
« ξίφος τε καὶ πῦρ οὐκ ἐκτεμεῖ με
τῆς Χριστοῦ ἀγαπήσεως ».

* 'Ο εὐκλεὴς 'Επίμαχος
θεόθεν ἐμπνευσθεὶς
60 πατέρα, λόγον καὶ ἅγιον πνεῦμα
φύσει ἐν μιᾷ τοῖς ἀγνοοῦσιν
τὴν τριάδα ἐκήρυττεν.

* 'Ο εὐκλεὴς 'Επίμαχος
ἐν μέσῳ παρεστὼς
65 τοῖς ἀνομοῦσιν ἐβόα εὐθαρσῶς·
« γῆν καὶ οὐρανὸν θεοὶ μὴ δρῶντες
ὡς εἰς χοῦν συντριβήτωσαν ».

θεοτ. * Τίς ἐξειπεῖν δυνήσεται
τοῦ τόκου σου, ἁγνή,
70 τὸν ὑπὲρ λόγον παράδοξον τρόπον;
φύσει γὰρ θεὸν σεσαρκωμένον
ὑπὲρ λόγον ἐκύησας.

ᾠδὴ ς'. *'Εβόησε*

* Κατέλιπε
τὰ τοῦ κόσμου καὶ κόσμον 'Επίμαχος
75 καὶ τὸ σῶμα ταῖς βασάνοις ἀνδρείως παρέδωκεν

---

heirm. ε' EE 101, n. 143, Cosmae 53-57 ed. in MR I, 573 58-67 MR I 573 62 ἀσεβεῖς ἀπολέσθωσαν P MR 63-67 om P 64 βήματι παρεστὼς P MR 68-72 MR I 573
heirm. ς' EE 125, n. 172 73-77 MR I, 574

56-57 cf. Rom. 8,35

ὑπὲρ τοῦ δεσπότου
